www.e-rara.ch

# Poiēseis Homērou amphō hē te Ilias kai hē Odysseia, hypo te Iakōbou tou Mikyllou kai Iōacheimou Kamerariou, spoudaiōs pros tēn nyni ekdosin paraskeuastheisai

Homerus

[Basel], [1541]

Universitätsbibliothek Basel

Persistent Link: https://doi.org/10.3931/e-rara-124317

Odysseias D

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

Visual Library

Ἂν δ' ἄρα Τηλέμαχος περικαλλέα βήσατο δίφρον,
πὰρ δ' ἄρα Νεστορίδης Πεισίστρατος ὄρχαμος ἀνδρῶν,
ἐς δίφρον τ' ἀνέβαινε, καὶ ἡνία λάζετο χερσί,
μάστιξεν δ' ἐλάαν, τὼ δ' οὐκ ἄκοντε πετέσθην
ἐς πεδίον, λιπέτην δὲ Πύλου αἰπὺ πτολίεθρον.
οἱ δὲ πανημέριοι σεῖον ζυγὸν ἀμφὶς ἔχοντες.
δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί.
ἐς Φηρὰς δ' ἵκοντο Διοκλῆος ποτὶ δῶμα
υἱέος Ὀρτιλόχοιο, τὸν Ἀλφειὸς τέκε παῖδα.
ἔνθα δὲ νύκτ' ἄεσαν. ὁ δὲ τοῖς πὰρ ξείνια θῆκεν,
ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
ἵππους τ' ἐζεύγνυντ', ἀνά θ' ἅρματα ποικίλ' ἔβαινον,
μάστιξαν δ' ἐλάαν, τὼ δ' οὐκ ἄκοντε πετέσθην,
ἷξον δ' ἐς πεδίον πυρηφόρον, ἔνθα δ' ἔπειτα,
ἦνον ὁδόν, τοῖον γὰρ ὑπέκφερον ὠκέες ἵπποι,
δύσετό τ' ἠέλιος σκιόωντό τε πᾶσαι ἀγυιαί.

σεῖον ζυγόν.] παρεκδοχικῶς ἀπὸ τοῦ παρεπομένου τὸ προηγούμενον αἰτίου ὥδευον. Φηράς.] Φηραὶ πόλις τῆς ἐλῶν Μεσσηνίας. οἱ δὲ τῆς Λακωνικῆς.

Ἀλφειός.] ποταμὸς Ἤλιδος. ἄεσαν.] ἀνεπαύσαντο, ἐκοιμήθησαν.

πυρηφόρον.] σιτοφόρον. ἦνον.] ἤνυον, διήρχοντο. τοῖον γὰρ ὑπέκφερον.] οὕτω γὰρ μετὰ τάχους ἔφερον.

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ Δ ΤΟΥ

## ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Παρὰ Μενελάῳ ξενισθεὶς σὺν Πεισιστράτῳ Τηλέμαχος, ἀπαγγέλλει τὰ κατὰ τὴν Ἰθάκην ὑπὸ τῶν μνηστήρων πραττόμενα. ἔπειτα ἐξηγεῖται αὐτῷ ὁ Μενέλαος περὶ τοῦ νόστου τῶν Ἑλλήνων καὶ τῆς Πρωτέως μαντείας. δι' ἧς ἔγνω τὸν Ἀγαμέμνονος θάνατον, καὶ ὡς Ὀδυσσεὺς παρὰ Καλυψοῖ ἐστι. βουλὴ δὲ γίνεται τῶν μνηστήρων περὶ τοῦ τ[ὸν] Τηλέμαχον ἀνελεῖν. παραμυθεῖται δὲ ἡ Ἀθηνᾶ δι' ὀνείρου τὴν Πηνελόπην ἐπὶ τῇ τοῦ παιδὸς ἀποδημίᾳ δυσχεραίνουσαν διὰ ζῆλον, ὁμοιωθεῖσα Ἰφθίμῃ τῇ τῆς Πηνελόπης ἀδελφῇ.

# ΟΔΥΣΣΕΙΑΣ Δ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Δέλτα μαθ' ἀμφὶ πατρὸς παῖ Ἀτρείδαο λοχώμενος υἱός.

Οἱ δ' ἷξον κοίλην Λακεδαίμονα κητώεσσαν,
πρὸς δ' ἄρα δώματ' ἔλων Μενελάου κυδαλίμοιο.
τὸν δ' εὗρον δαινῦντα γάμον πολλοῖσιν ἔτῃσιν,
υἱέος ἠδὲ θυγατρὸς ἀμύμονος, ᾧ ἐνὶ οἴκῳ.
τὴν μὲν Ἀχιλλῆος ῥηξήνορος υἱέϊ πέμπεν.
ἐν Τροίῃ γὰρ πρῶτον ὑπέσχετο καὶ κατένευσεν
δωσέμεναι, τοῖσιν δὲ θεοὶ γάμον ἐξετέλειον,
τὴν ἄρ' ὅγ' ἔνθ' ἵπποισι καὶ ἅρμασι πέμπε νέεσθαι,
Μυρμιδόνων προτὶ ἄστυ περικλυτόν, οἷσιν ἄνασσεν,
υἱέϊ δὲ Σπάρτηθεν Ἀλέκτορος ἤγετο κούρην,
ὅς οἱ τηλύγετος γένετο κρατερὸς Μεγαπένθης

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Δ. ΤΟΥ

## Ὁμήρου ῥαψῳδίαν.

Κοίλην Λακεδαίμονα.] ἐπὶ ὑψηλοτάτοις ὄρεσι περικέκλεισται. ποτὲ μὲν τὴν πόλιν καλεῖ Λακεδαίμονα, ποτὲ δὲ τὴν χώραν Λακεδαίμονα τὴν Σπάρτην. ἔλων.] ἤλαυνον. δαινῦντα.] ἑστιῶντα. ἔτῃσιν.] πολίταις.

ῥηξήνορος.] ἀνδρείου. τοῦ διὰ τῆς ἠνορέας ῥήσσοντος τὰς τάξεις. δωσέμεναι.] δοῦναι παρασχεῖν. Μυρμιδόνων προτὶ ἄστυ.] ἣν Ὅμηρος μὲν Φθίαν λέγει. οἱ δὲ νεώτεροι Φαρσαλίαν. Σπάρτηθεν.] ἐκ τῆς Σπάρτης.

Ἀλέκτορος κούρην.] οἱ μὲν Ἰφιλόχην. οἱ δὲ Ἐχέμηλον λέγουσιν. τὸν δὲ Ἀλέκτορα γενεαλογοῦσιν Ἀργέος τοῦ Πέλοπος. τηλύγετος.] ἤτοι τηλοῦ τῆς ἡλικίας, τουτέστι προβεβηκόσι τοῖς γονεῦσι γενόμενος παῖς. μεθ' ὃν οὐκέτι ἐλπίζουσι τεκνῶσαι, ἢ μονογενής. καθάπερ Τηλέμαχος τῷ Ὀδυσσεῖ καὶ Ὀρέστης τῷ Ἀγαμέμνονι. Μεγαπένθης.] ἐκ τοῦ ὀνόματος δηλοῖ, ὅτι μετὰ τὴν ἁρπαγὴν τοῦτον ἔσχεν.

ἐκ Δούλης.] οἱ μὲν κύριον τὸ Δούλης. οἱ δὲ τυριδιάν τὸ κύριον ἀντὶ ὄνομα.

Ἑλένῃ δὲ θεοὶ γόνον οὐκ ἔτ' ἔφαινον.] πιθανῶς ἵνα ἐπιπλεῖστον ἀκμάσῃ· ἢ ἵνα ἐξ Ἀλεξάνδρου παῖδα μὴ σχῇ. οἱ δὲ νεώτεροι Ἑλένης μὲν καὶ Ἀλεξάνδρου Κόρυθον ἢ Ἕλενον. ἐκ δὲ Μενελάου Νικόστρατον γενεαλογοῦσι. γείτονες ἠδὲ ἔται.] γείτονες μὲν νῦν οἱ ἀστυγείτονες, ἔται δὲ ψιλῶς. ἵν' ἢ οἱ πολῖται. οὕτω γὰρ ἐστὶ μεγαλοπρεπὴς ὁ γάμος. ἐμέλπετο.] ᾖδεν. κυβιστητῆρε.] κυβισταί, ὀρχησταί. μολπῆς.] τῆς παιδιᾶς. ἐδίνευον.] κυκλόσε, ἐστρέφοντο, ὠργοῦντο.

ἴδετο.] ἐθεάσατο. κρείων.] ἄρχων καὶ διάκειτος. προμολών.] προελθών. ὀτρηρός.] σπουδαῖος, δραστικός. θεράπων.] ὑπηρέτης φίλος, ὁ περὶ τὴν θεραπείαν ὑπάρχων. ἀγγελέων.] ὀφείλων, ἀπαγγεῖλαι. ξείνω δή τινε.] εἰσαγγέλλεται μόνῳ περὶ ξένων Μενελάῳ διὰ τὸ ἐπιβεβουλεῦσθαι ὑπὸ ξένου. γενεῇ.] γεννήσει, γένος.

ἔικτην.] ἐοίκεσαν. σφῶιν.] αὐτοῖς. ἄλλον.] πρὸς ἄλλον. ἱκανέμεν.] παραγενέσθαι. φιλήσῃ.] φιλικῶς ὑποδέξηται. ἐξοπίσω.] ὕστερον, εἰς τὰ μετὰ ταῦτα. θοινηθῆναι.] εὐωχηθῆναι. ζειάς.] ὀλύρας.

κάπῃσι.] φάτναις. οὔλας δὲ ἀντὶ τοῦ ἁπαλάς, κεκροκισμένας.

δαινύμενος.]

ἐκ δούλης, Ἑλένῃ δὲ θεοὶ γόνον οὐκ ἔτ' ἔφαινον,
ἐπειδὴ τὸ πρῶτον ἐγείνατο παῖδ' ἐρατεινὴν
Ἑρμιόνην, ἣ εἶδος ἔχε χρυσῆς Ἀφροδίτης.
Ὣς οἱ μὲν δαίνυντο καθ' ὑψερεφὲς μέγα δῶμα,
γείτονες ἠδὲ ἔται Μενελάου κυδαλίμοιο
τερπόμενοι, μετὰ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς
φορμίζων, δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς
μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσον,
Τὼ δ' αὖτ' ἐν προθύροισι δόμων αὐτώ τε καὶ ἵππω,
Τηλέμαχός θ' ἥρως, καὶ Νέστορος ἀγλαὸς υἱὸς
στῆσαν, ὁ δὲ προμολὼν ἴδετο κρείων Ἐτεωνεύς,
ὀτρηρὸς θεράπων Μενελάου κυδαλίμοιο,
βῆ δ' ἴμεν ἀγγελέων διὰ δώματα ποιμένι λαῶν,
ἀγχοῦ δ' ἱστάμενος, ἔπεα πτερόεντα προσηύδα.
Ξείνω δή τινε τώδε διοτρεφὲς ὦ Μενέλαε
ἄνδρε δύω, γενεῇ δὲ Διὸς μεγάλοιο ἔικτην,
ἀλλ' εἴπ' εἴ σφῶιν καταλύσομεν ὠκέας ἵππους,
ἢ ἄλλον πέμπωμεν ἱκανέμεν ὅς κε φιλήσῃ.
Τὸν δὲ μέγ' ὀχθήσας προσέφη ξανθὸς Μενέλαος.
οὐ μὲν νήπιος ἦσθα Βοηθοΐδη Ἐτεωνεῦ
τὸ πρίν, ἀτὰρ νῦν μὲν πάϊς ὣς νήπια βάζεις,
ἦ μὲν δὴ νῶϊ ξεινήϊα πολλὰ φαγόντε
ἄλλων ἀνθρώπων δεῦρ' ἱκόμεθ' αἴ κε ποθι Ζεὺς
ἐξοπίσω περ παύσῃ ὀϊζύος. ἀλλὰ λῦ' ἵππους
ξείνων, ἐς δ' αὐτοὺς προτέρω ἄγε θοινηθῆναι.
Ὣς φάθ', ὁ δ' ἐκ μεγάροιο διέσσυτο, κέκλετο δ' ἄλλους
ὀτρηροὺς θεράποντας ἅμ' ἑσπέσθαι ἑοῖ αὐτῷ,
οἱ δ' ἵππους μὲν ἔλυσαν ὑπὸ ζυγοῦ ἱδρώοντας,
καὶ τοὺς μὲν κατέδησαν ἐφ' ἱππείῃσι κάπῃσι,
πὰρ δ' ἔβαλον ζειάς, ἀνὰ δὲ κρῖ λευκὸν ἔμιξαν.
Ἅρματα δ' ἔκλιναν πρὸς ἐνώπια παμφανόωντα,
αὐτοὺς δ' εἰσῆγον θεῖον δόμον, οἱ δὲ ἰδόντες
θαύμαζον κατὰ δῶμα διοτρεφέος βασιλῆος,
ὥς τε γὰρ ἠελίου αἴγλη πέλεν ἠὲ σελήνης,
δῶμα καθ' ὑψερεφὲς Μενελάου κυδαλίμοιο.
Αὐτὰρ ἐπεὶ τάρπησαν ὁρώμενοι ὀφθαλμοῖσιν,
ἔς ῥ' ἀσαμίνθους βάντες ἐϋξέστας λούσαντο.
Τοὺς δ' ἐπεὶ οὖν δμῳαὶ λοῦσαν καὶ χρῖσαν ἐλαίῳ,
ἀμφὶ δ' ἄρα χλαίνας οὔλας βάλον ἠδὲ χιτῶνας,
ἔς ῥα θρόνους ἕζοντο παρ' Ἀτρείδην Μενέλαον.
Χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
καλῇ χρυσείῃ ὑπὲρ ἀργυρέοιο λέβητος
νίψασθαι, παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν,
σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
εἴδατα πόλλ' ἐπιθεῖσα χαριζομένη παρεόντων,
δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας

Παντοίων,

Παντοίων, παρὰ δέ σφι τίθει χρύσεια κύπελλα,
Τὼ καὶ δεικνύμενος, προσέφη ξανθὸς Μενέλαος,
Σίτου θ' ἅπτεσθον καὶ χαίρετον, αὐτὰρ ἔπειτα
Δείπνου πασσαμένω, εἰρησόμεθ' οἵ τινες ἐστὸν
Ἀνδρῶν, οὐ γὰρ σφῷν γε γένος ἀπόλωλε τοκήων,
Ἀλλ' ἀνδρῶν γένος ἐστὲ διοτρεφέων βασιλήων
Σκηπτούχων, ἐπεὶ οὔ κε κακοὶ τοιοῦσδε τέκοιεν.
Ὣς φάτο, καί σφιν νῶτα βοὸς παρὰ πίονα θῆκεν
Ὄπτ' ἐν χερσὶν ἑλὼν, τά ῥά οἱ γέρα πάρθεσαν αὐτῷ.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Δὴ τότε Τηλέμαχος προσεφώνεε Νέστορος υἱὸν
Ἄγχι σχὼν κεφαλὴν, ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι.
Φράζεο Νεστορίδη τῷ ἐμῷ κεχαρισμένε θυμῷ,
Χαλκοῦ τε στεροπὴν καὶ δώματα ἠχήεντα,
Χρυσοῦ τ' ἠλέκτρου τε, καὶ ἀργύρου ἠδ' ἐλέφαντος.
Ζηνός που τοιήδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλὴ,
Ὅσα τάδ' ἄσπετα πολλὰ σέβας μ' ἔχει εἰσορόωντα.
Τοῦ δ' ἀγορεύοντος ξύνετο ξανθὸς Μενέλαος,
Καί σφεας φωνήσας ἔπεα πτερόεντα προσηύδα.
Τέκνα φίλ', ἤτοι Ζηνὶ βροτῶν οὐκ ἄν τις ἐρίζοι
Ἀθάνατοι γὰρ τοῦ γε δόμοι καὶ κτήματ' ἔασιν.
Ἀνδρῶν δ' ἤ κέν τίς μοι ἐρίσσεται ἠὲ καὶ οὐκὶ
Κτήμασιν, ἦ γὰρ πολλὰ παθὼν, καὶ πόλλ' ἐπαληθεὶς
Ἠγαγόμην ἐν νηυσὶ, καὶ ὀγδοάτῳ ἔτει ἦλθον
Κύπρον Φοινίκην τε, καὶ Αἰγυπτίους ἐπαληθεὶς
Αἰθίοπάς θ' ἱκόμην, καὶ Σιδονίους, καὶ Ἐρεμβοὺς,
Καὶ Λιβύην, ἵνα τ' ἄρνες ἄφαρ κεραοὶ τελέθουσι.
Τρὶς γὰρ τίκτει μῆλα τελεσφόρον εἰς ἐνιαυτὸν,
Ἔνθα μὲν, οὔτε ἄναξ ἐπιδευὴς, οὔτε τι ποιμὴν
Τυροῦ καὶ κρειῶν, οὐδὲ γλυκεροῖο γάλακτος,
Ἀλλ' αἰεὶ παρέχουσιν ἐπηετανὸν γάλα θῆσθαι.
Εἷος ἐγὼ περὶ κεῖνα πολὺν βίοτον ξυναγείρων
Ἠλώμην, τείως μοι ἀδελφεὸν ἄλλος ἔπεφνε
Λάθρῃ ἀνωϊστὶ δόλῳ οὐλομένης ἀλόχοιο.
Ὣς οὔτι χαίρων τοῖσδε κτεάτεσσιν ἀνάσσω.
Καὶ πατέρων τάδε μέλλετ' ἀκουέμεν, οἵ τινες ὑμῖν
Εἰσὶν, ἐπεὶ μάλ' πόλλ' ἔπαθον καὶ ἀπώλεσα οἶκον,
Εὖ μάλα ναιετάοντα κεχανδότα πολλὰ, καὶ ἐσθλά.
Ὧν ὄφελον τριτάτην περ ἔχων ἐν δώμασι μοῖραν
Ναίειν, οἱ δ' ἄνδρες σόοι ἔμμεναι, οἳ τότ' ὄλοντο
Τροίῃ ἐν εὐρείῃ, ἑκὰς Ἄργεος ἱπποβότοιο.
Ἀλλ' ἔμπης πάντας μὲν ὀδυρόμενος καὶ ἀχεύων,
Πολλάκις ἐν μεγάροισι καθήμενος ἡμετέροισιν
Ἄλλοτε μέν τε γόῳ φρένα τέρπομαι, ἄλλοτε δ' αὖτε
Παύομαι, αἰψηρὸς δὲ κόρος κρυεροῖο γόοιο,

Τῶν

δεικνύμενος.] δεξιούμενος. εἰρησόμεθα.] ἐρωτήσωμεν. οὐ γὰρ σφῷιν γε γένος.] σὺν τῷ ι γραπτέον. ἵν' ᾖ σφῷιν δυϊκῶς, οὐ γὰρ ἀφανῶν ἐστὲ γονέων. ἄσπετα.] πολλά. κακοί.] δειλοί, ἀσθενεῖς. τέκοιεν.] γεννήσοιεν.

τά ῥά οἱ.] ἅτινα δὴ αὐτῷ. γέρα.] κατὰ τιμήν. πάρθεσαν.] παρέθηκαν. φράζεο.] νῦν ἀντὶ τοῦ ὅρα. στεροπήν.] ἔκλαμψιν. ἠχήεντα.] μεγάλα. ξύνετο.] συνῆκεν, ἤκουσεν.

ἐρίσσεται.] φιλονεικήσει. ἐπαληθείς.] πλανηθείς. οἱ δὲ ἤδη τοὺς ἀληθεῖς Αἰγυπτίους, ὅτι μαντικῆς ἔμπειροι.

Αἰγυπτίους.] ἐπὶ τοὺς Αἰγυπτίους.

ἱκόμην.] παραγενόμην. Σιδονίους.] τοὺς παρὰ τῇ Ἐρυθρᾷ θαλάσσῃ λέγει. ὅθεν μετῴκησαν οἱ Φοίνικες. Ἐρεμβούς.] τοὺς Τρωγλοδύτας παρὰ τὸ εἰς τὴν ἔραν δύνειν. οἱ δὲ τοὺς Ἰνδοὺς παρὰ τὸ Ἔρεβος, μέλανες γάρ. ὅθεν καὶ Κράτης Ἐρεμνοὺς γράφει. οἱ δὲ ἴδιον ἔθνος, ἔνιοι δὲ τοὺς Ἄραβας. καὶ μεταγράφουσιν οὕτως. Αἰθίοπας θ' ἱκόμην καὶ Σιδονίους Ἄραβάς τε. ἄφαρ κεραοί.] ταχέως φύουσι διὰ τὴν εὐδίαν. οἱ δὲ ἐπίθετον τῶν ἀρνῶν τὸ κεραοί. τινὲς δὲ τὸ ἄφαρ, ὅτι ταχέως καὶ πρώιμοι γίνονται.

τρὶς γὰρ τίκτει μῆλα.] ἄλλοτε ἄλλα. ἢ διὰ ὅλου αὐταὶ εἰσὶν αἱ γοναί, οὐχ ὥσπερ ἡμῖν μόνῳ τῷ ἦρι. ἐπιδευής.] ἐνδεής. ἐπηετανόν.] ἐπὶ πολὺ ἄφθονον. θῆσθαι.] κυρίως μὲν τὸ θηλάσαι. νῦν δὲ τὸ ἀμέλγειν ἔπιεν, παρὰ τὴν θηλήν. ἠλώμην.] ἐπλανώμην. τείως.] τηνικαῦτα. ἀνωϊστί.] ἀνυπονοήτως ὥστε μηδὲ προνοῆσαί τινα. κεχανδότα.] χωροῦντα. καὶ ἀπώλεσα οἶκον.] ἀμφίβολον, πότερον τὸν ἑαυτοῦ, ἢ τὸν Πριάμου. γόῳ φρένα τέρπομαι.] πληροῦμαι.

αἰψηρὸς δὲ κόρος.] ὁ ὑπὲρ τῶν ἄλλων μοι θρῆνος ταχέως θραύεται.

ὀδύρομαι.]

ὀδύρομαι.] ἀποκλαίομαι. ἀπεχθαίρει.] εἰς μῖσος ἄγει. μνωομένῳ.] μνηστευομένῳ. ἐμόγησεν.] ἐκακοπάθησεν. ἤρατο.] ὑπέμεινεν. ἀποίχεται.] ἄπεστιν, ἀποδημεῖ. ἐξερέοιτο.] ἐρευνήσειεν, ἀνακρίνοι. μυθήσαιτο.] εἴποι. θυώδεος.] εὐώδους.

κλισίην.] δίφρον ἀνάκλιτον ἔχοντα. τάλαρον.] κάλαθον. Θήβῃσι.] Θῆβαι πόλις Αἰγύπτου, ἡ νῦν καλουμένη Διὸς πόλις. κάλλιμα.] ἄγαν καλά. ὑπόκυκλον.] κύκλον ἔχον ἢ ὑπότροχον. κεκράαντο.] ἐτετέλεστο.

νήματος.] εἰς νῆσιν ἐπιτηδειότερος. ἀσκητοῖο.] καλῶς γεγονότος.

βεβυσμένον.] πεπληρωμένον.

ἠλακάτη.] ἐριουργικόν, ἐργαλεῖον.

τετάνυστο.] ἐπέκειτο. ἰοδνεφές.] μέλαν ἢ πορφυροῦν. εἶρος.] ἔριον.

εὐχετόωνται.] ἐκαυχῶντο. ἐοικότα.] ὅμοιον ὄντα. εἴσκεις.] ἀπεικάζεις. τοῖαι.] τοιαῦται.

βολαί.]

Τῶν πάντων οὐ τόσον ὀδύρομαι, ἀχνύμενός περ,
Ὡς ἑνός, ὅς τέ μοι ὕπνον ἀπεχθαίρει καὶ ἐδωδὴν
Μνωομένῳ, ἐπεὶ οὔτις Ἀχαιῶν τόσσ' ἐμόγησεν,
Ὅσσ' Ὀδυσεὺς ἐμόγησε καὶ ἤρατο, τῷ δ' ἄρ' ἔμελλεν
Αὐτῷ κήδε' ἔσεσθαι, ἐμοὶ δ' ἄχος αἰὲν ἄλαστον
Κείνου, ὅπως δὴ δηρὸν ἀποίχεται, οὐδέ τι ἴδμεν
Ζώει ὅ γ', ἦ τέθνηκεν, ὀδύρονταί νύ που αὐτὸν
Λαέρτης θ' ὁ γέρων, καὶ ἐχέφρων Πηνελόπεια,
Τηλέμαχός θ' ὃν ἔλειπε νέον γεγαῶτ' ἐνὶ οἴκῳ,
Ὣς φάτο, τῷ δ' ἄρα πατρὸς ὑφ' ἵμερον ὦρσε γόοιο.
Δάκρυ δ' ἀπὸ βλεφάρων χαμάδις βάλε πατρὸς ἀκούσας
Χλαῖναν πορφυρέην ἄντ' ὀφθαλμοῖιν ἀνασχὼν
Ἀμφοτέρῃσι χερσί, νόησε δέ μιν Μενέλαος,
Μερμήριξε δ' ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμόν,
Ἠέ μιν αὐτὸν πατρὸς ἐάσει μνησθῆναι,
Ἦ πρῶτ' ἐξερέοιτο ἕκαστά τε μυθήσαιτο
Ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
Ἐκ δ' Ἑλένη θαλάμοιο θυώδεος ὑψορόφοιο
Ἤλυθεν Ἀρτέμιδι χρυσηλακάτῳ εἰκυῖα.
Τῇ δ' ἄρ' ἅμ' Ἀδρήστη κλισίην εὔτυκτον ἔθηκεν,
Ἀλκίππη δὲ τάπητα φέρε, μαλακοῦ ἐρίοιο,
Φυλὼ δ' ἀργύρεον τάλαρον φέρε, τόν οἱ ἔδωκε
Ἀλκάνδρη Πολύβοιο δάμαρ. ὃς ἔναι' ἐνὶ Θήβῃς
Αἰγυπτίῃς, ὅθι πλεῖστα δόμοις ἐνὶ κτήματα κεῖται,
Ὃς Μενελάῳ δῶκε δύ' ἀργυρέας ἀσαμίνθους,
Δοιοὺς δὲ τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα,
Χωρὶς δ' αὖ Ἑλένῃ ἄλοχος πόρε κάλλιμα δῶρα
Χρυσῆν τ' ἠλακάτην, τάλαρόν θ' ὑπόκυκλον ὄπασσεν
Ἀργύρεον, χρυσῷ δ' ἐπὶ χείλεα κεκράαντο,
Τόν ῥά οἱ ἀμφίπολος φυλὼ παρέθηκε φέρουσα,
Νήματος ἀσκητοῖο βεβυσμένον, αὐτὰρ ἐπ' αὐτῷ
Ἠλακάτη τετάνυστο ἰοδνεφὲς εἶρος ἔχουσα.
Ἕζετο δ' ἐν κλισμῷ, ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν,
Αὐτίκα δ' ἥ γ' ἐπέεσσι πόσιν ἐρέεινεν ἕκαστα,
Ἴδμεν δή, Μενέλαε διοτρεφές, οἵ τινες οἵδε
Ἀνδρῶν εὐχετόωνται ἱκανέμεν ἡμέτερον δῶ
Ψεύσομαι, ἦ ἔτυμον ἐρέω. κέλεται δέ με θυμός.
Οὐ γάρ πω τινά φημι ἐοικότα ὧδε ἰδέσθαι,
Οὔτ' ἄνδρ' οὔτε γυναῖκα, σέβας μ' ἔχει εἰσορόωσαν
Ὡς ὅδ' Ὀδυσσῆος μεγαλήτορος υἷι ἔοικε
Τηλεμάχῳ, τὸν ἔλειπε νέον γεγαῶτ' ἐνὶ οἴκῳ
Κεῖνος ἀνὴρ ὅτ' ἐμεῖο κυνώπιδος εἵνεκ' Ἀχαιοὶ
Ἤλθεθ' ὑπὸ Τροίην, πόλεμον θρασὺν ὁρμαίνοντες.
Τὴν δ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος,
Οὕτω νῦν καὶ ἐγὼ νοέω γύναι, ὡς σὺ ἐΐσκεις,
Κείνου γὰρ τοιοίδε πόδες, τοιαίδε τε χεῖρες,

ὀφθαλμῶν

Ὀφθαλμῶν τε βολαί, κεφαλή τ' ἐφύπερθέ τε χαῖται.
Καὶ νῦν ἤτοι ἐγὼ μεμνημένος ἀμφ' Ὀδυσῆϊ
Μυθεόμην, ὅσα κεῖνος ὀϊζύσας ἐμόγησεν
Ἀμφ' ἐμοί, αὐτὰρ ὁ πικρὸν ὑπ' ὀφρύσι δάκρυον εἶβε,
Χλαῖναν πορφυρέην ἄντ' ὀφθαλμοῖιν ἀνασχών.
Τὸν δ' αὖ Νεστορίδης Πεισίστρατος ἀντίον ηὔδα,
Ἀτρεΐδη Μενέλαε διοτρεφὲς ὄρχαμε λαῶν,
Κείνου μέν τοι ὅδ' υἱὸς ἐτήτυμον, ὡς ἀγορεύεις,
Ἀλλὰ σαόφρων ἐστί, νεμεσσᾶται δ' ἐνὶ θυμῷ
Ὧδ' ἐλθὼν τὸ πρῶτον, ἐπεσβολίας ἀναφαίνειν
Ἄντα σέθεν, τοῦ νῶϊ θεοῦ ὣς τερπόμεθ' αὐδῇ.
Αὐτὰρ ἐμὲ προέηκε Γερήνιος ἱππότα Νέστωρ,
Τῷ ἅμα πομπὸν ἕπεσθαι, ἐέλδετο γάρ σε ἰδέσθαι,
Ὄφρα οἱ, ἤ τι ἔπος ὑποθήσεαι, ἠέ τι ἔργον,
Πολλὰ γὰρ ἄλγε' ἔχει πατρὸς πάϊς οἰχομένοιο
Ἐν μεγάροις, ᾧ μὴ πολλοὶ ἀοσσητῆρες ἔωσιν,
Ὡς νῦν Τηλεμάχῳ ὁ μὲν οἴχεται, οὐδέ οἱ ἄλλοι
Εἴσ' οἵ κεν κατὰ δῆμον ἀλάλκοιεν κακότητα.
Τὸν δ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος·
Ὢ πόποι, ἦ μάλα δὴ φίλου ἀνέρος υἱὸς ἐμὸν δῶ
Ἵκεθ', ὃς εἵνεκ' ἐμεῖο πολέας ἐμόγησεν ἀέθλους.
Καί μιν ἔφην ἐλθόντα φιλησέμεν ἔξοχον ἄλλων
Ἀργείων, εἰ νῶϊν ὑπεὶρ ἅλα νόστον ἔδωκε
Νηυσὶ θοῇσι γενέσθαι Ὀλύμπιος εὐρύοπα Ζεύς,
Καί κέν οἱ Ἄργεϊ νάσσα πόλιν, καὶ δώματ' ἔτευξα
Ἐξ Ἰθάκης ἀγαγὼν σὺν κτήμασι καὶ τέκεϊ ᾧ,
Καὶ πᾶσιν λαοῖσι μίαν πόλιν ἐξαλαπάξας,
Αἳ περιναιετάουσιν, ἀνάσσονται δ' ἐμοὶ αὐτῷ,
Καί κε θάμ' ἐνθάδ' ἐόντες, ἐμισγόμεθ' οὐδέ κεν ἡμέας
Ἄλλο διέκρινε φιλέοντέ τε τερπομένω τε,
Πρίν γ' ὅτε δὴ θανάτοιο μέλαν νέφος ἀμφεκάλυψεν,
Ἀλλὰ τὰ μέν που μέλλεν ἀγάσσεσθαι θεὸς αὐτός,
Ὃς κεῖνον δύστηνον, ἀνόστιμον οἶον ἔθηκεν.
Ὣς φάτο, τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο.
Κλαῖε μὲν Ἀργείη Ἑλένη Διὸς ἐκγεγαυῖα,
Κλαῖε δὲ Τηλέμαχός τε καὶ Ἀτρεΐδης Μενέλαος,
Οὐδ' ἄρα Νέστορος υἱὸς ἀδακρύτω ἔχεν ὄσσε,
Μνήσατο γὰρ κατὰ θυμὸν ἀμύμονος Ἀντιλόχοιο,
Τόν ῥ' Ἠοῦς ἔκτεινε φαεινῆς ἀγλαὸς υἱός,
Τοῦ ὅ γ' ἐπιμνησθεὶς ἔπεα πτερόεντ' ἀγόρευεν·
Ἀτρεΐδη περὶ μέν σε βροτῶν πεπνυμένον εἶναι
Νέστωρ φάσχ' ὁ γέρων, ὅτ' ἐπιμνησαίμεθα σεῖο
Οἷσιν ἐνὶ μεγάροισι, καὶ ἀλλήλους ἐρέοιμεν,
Καὶ νῦν εἴ τι που ἔστι πίθοιό μοι, οὐ γὰρ ἔγωγε
Τέρπομ' ὀδυρόμενος μεταδόρπιος. ἀλλὰ καὶ ἠὼς
Ἔσσεται ἠριγένεια, νεμεσσῶμαί γε μὲν οὐδὲν

κλαίειν

βολαί.] τὰ βλέμματα. ἐφύπερθεν.] ἐπάνωθεν. μυθεόμην.] ἔλεγον διηγούμην. ὀϊζύσας.] ταλαιπωρήσας. σαόφρων.] σώφρων. νεμεσσᾶται.] ἐντρέπεται, αἰδεῖται. ἐπεσβολίας ἀναφαίνειν.] τὰς γινομένας τῶν μνηστήρων εἰς αὐτὸν φλυαρίας, ἢ τὰς περὶ τὸν οἶκον αὐτοῦ φλυαρίας, καὶ λοιδορίας, δεικνύναι. ἢ ὑπὸ σωφροσύνης οὐ βούλεται προκατάρχεσθαι λόγων. ἐπεσβολίας ἐν νῦν τὰς τῶν ἐπῶν ἐσβολὰς ἀρχάς.

ἀναφαίνειν.] φαίνειν δεικνύναι.

ἐέλδετο.] ἐπεθύμει. ἀοσσητῆρες.] βοηθοί. ὑποθήσεαι.] ὑποβάλῃς.

ἀλάλκοιεν.] κωλύσουσι, βοηθήσωσιν.

φιλησέμεν.] φιλοφρονήσασθαι.

ἔφην.] ἔλεγον. νάσσα.] κατῴκησα. ἔτευξα.] κατεσκεύασα. τέκεϊ.] τέκνῳ. ἐξαλαπάξας.] μεταστήσας τοὺς ἐνοικοῦντας εἰς ἕτερον τόπον.

ἀμφεκάλυψε.] περιεκάλυψεν.

ἀλλὰ τὰ μέν που μέλλεν.] ἀλλὰ ταῦτα τοῖς κεν ἐώκει. ἀγάσσεσθαι.] φθονήσειν. ἀνόστιμον.] ἐπανόδου μὴ τυχόντα. Ἠοῦς υἱός.] ὁ Μέμνων. Τιθωνοῦ γὰρ καὶ τῆς Ἡμέρας υἱός. ἐρέοιμεν.] ἐρωτήσωμεν. εἴ τι που ἔστιν.] εἰ ἐνδέχεται. μεταδόρπιος.] μετὰ τὸ δεῖπνον ἢ οὕτως οὐκ ἀρέσκει μοι θρηνεῖν μετὰ τὸ δεῖπνον. νεμεσῶμαι.] μέμφομαι.
κάκιστος.]

Κλαίειν ὅς κε θάνῃσι βροτῶν καὶ πότμον ἐπίσπῃ.
Τοῦτό νυ καὶ γέρας οἶον ὀϊζυροῖσι βροτοῖσι,
Κείρασθαί τε κόμην, βαλέειν τ' ἀπὸ δάκρυ παρειῶν,
Καὶ γὰρ ἐμὸς τέθνηκεν ἀδελφεὸς οὔτι κάκιστος
Ἀργείων, μέλλεις δὲ σὺ ἴδμεναι, οὐ γὰρ ἔγωγε
Ἤντησ', οὐδὲ ἴδον, περὶ δ' ἄλλων φασὶ γενέσθαι
Ἀντίλοχον, περὶ μὲν θείειν ταχὺν, ἠδὲ μαχητήν.
Τὸν δ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος,
Ὦ φίλ' ἐπεὶ τόσα εἶπες, ὅς ἂν πεπνυμένος ἀνὴρ
Εἴποι καὶ ῥέξειε, καὶ ὃς προγενέστερος εἴη,
Τοίου γὰρ καὶ πατρὸς, ὃ καὶ πεπνυμένα βάζεις.
Ῥεῖα δ' ἀρίγνωτος γόνος ἀνέρος, ᾧ τε Κρονίων
Ὄλβον ἐπικλώσῃ γαμέοντί τε γεινομένῳ τε,
Ὡς νῦν Νέστορι δῶκε διαμπερὲς ἤματα πάντα,
Αὐτὸν μὲν λιπαρῶς γηρασκέμεν ἐν μεγάροισιν,
Υἱέας αὖ πινυτούς τε καὶ ἔγχεσιν εἶναι ἀρίστους,
Ἡμεῖς δὲ κλαυθμὸν μὲν ἐάσομεν, ὃς πρὶν ἐτύχθη,
Δόρπου δ' ἐξαῦτις μνησώμεθα, χερσὶ δ' ἐφ' ὕδωρ
Χευάντων, μῦθοι δὲ καὶ ἠῶθέν περ ἔσονται
Τηλεμάχῳ καὶ ἐμοὶ, διαειπέμεν ἀλλήλοισιν.
Ὣς ἔφατ', Ἀσφαλίων δ' ἄρ' ὕδωρ ἐπὶ χεῖρας ἔχευεν,
Ὀτρηρὸς θεράπων Μενελάου κυδαλίμοιο,
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησ' Ἑλένη Διὸς ἐκγεγαυῖα,
Αὐτίκ' ἄρ' εἰς οἶνον βάλε φάρμακον, ἔνθεν ἔπινον,
Νηπενθές τ' ἄχολόν τε κακῶν ἐπίληθον ἁπάντων,
Ὃς τὸ καταβρόξειεν, ἐπὴν κρητῆρι μιγείη,
Οὔκ ἂν ἐφημέριός γε βάλοι κατὰ δάκρυ παρειῶν,
Οὐδ' εἴ οἱ κατατεθναίη μήτηρ τε, πατήρ τε,
Οὐδ' εἴ οἱ προπάροιθεν ἀδελφεὸν, ἢ φίλον υἱὸν
Χαλκῷ δηϊόῳεν, ὃ δ' ὀφθαλμοῖσιν ὁρῷτο.
Τοῖα Διὸς θυγάτηρ ἔχε φάρμακα μητιόεντα,
Ἐσθλὰ, τά οἱ Πολύδαμνα πόρε Θῶνος παράκοιτις,
Αἰγυπτίη, τῇ πλεῖστα φέρει ζείδωρος ἄρουρα
Φάρμακα, πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά.
Ἰητρὸς δὲ ἕκαστος ἐπιστάμενος περὶ πάντων
Ἀνθρώπων, ἦ γὰρ Παιήονός εἰσι γενέθλης.
Αὐτὰρ ἐπεί ῥ' ἐνέηκε, κέλευσέ τε οἰνοχοῆσαι,
Ἐξαῦτις μύθοισιν ἀμειβομένη προσέειπεν,
Ἀτρείδη Μενέλαε διοτρεφὲς, ἠδὲ καὶ οἵδε
Ἀνδρῶν ἐσθλῶν παῖδες, ἀτὰρ θεὸς ἄλλοτ' ἐπ' ἄλλῳ
Ζεὺς ἀγαθόν τε κακόν τε διδοῖ, δύναται γὰρ ἅπαντα,
Ἦτοι νῦν δαίνυσθε καθήμενοι ἐν μεγάροισι,
Καὶ μύθοις τέρπεσθε, ἐοικότα γὰρ καταλέξω.
Πάντα μὲν οὐκ ἂν ἐγὼ μυθήσομαι, οὐδ' ὀνομήνω,
Ὅσοι Ὀδυσσῆος ταλασίφρονός εἰσιν ἄεθλοι,

Ἀλλ' οἷον

κάκιστος.] δειλός. ἴδμεναι.] εἰδέναι. ῥέξειε.] πράξοι. ὃ.] δι' ὃ. ἀρίγνωτος.] εὔγνωστος. ἐπικλώσει.] εἱμαρμένον ποιήσει. γεινομένῳ.] τεκνοποιοῦντι, γεννῶντι. λιπαρῶς.] εὐδαιμόνως, μεγάλως. πινυτούς.] σώφρονας, συνετούς. μνησώμεθα.] ἐπιμελησθῶμεν. χευάντων.] ἐπιχεέτωσαν ἀττικῶς. διαειπέμεν.] διαλεχθῆναι. Ἀσφαλίων.] πεποίηκε τὸ ὄνομα παρὰ τὴν ἀσφάλειαν. νηπενθές.] ἀπενθές. ἄχολον.] τὸ τὴν χολὴν παῦον. ἐπίληθον.] παροξυτόνως ἵν' ᾖ ἐπιληστικόν· οἱ δὲ προπερισπῶσιν, ἵν' ᾖ ἐπιλανθάνεσθαι ποιοῦν. καταβρόξειεν.] καταπίοι. ἐφημέριος.] ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν ᾗ ἔπιεν. δηϊόῳεν.] ἀναιροῖεν, φονεύοιεν. μητιόεντα.] πρακτικὰ ἢ ὑπὸ συνέσεως. Πολύδαμνα.] ἀμφίβολα πότερον δὲ φαρμακίδος ἐστὶ τὸ ὄνομα ἢ τὰ φάρμακα τὰ πολλοὺς δαμάζοντα. ἐκείνην γὰρ θοῦμιν Πτολεμαῖος ἐν τῷ πρώτῳ χρόνῳ φησί. ἰητρὸς δὲ ἕκαστος.] ἕκαστος τῶν ἐκεῖθεν ἰατρῶν ὑπὲρ τοὺς ἄλλους ἐστίν· ἐπεὶ παιήονος ἀπόγονοι εἰσι. γράφεται καὶ περὶ πάντων φαρμακευτῶν· οὐ γὰρ πάντες τὰ πάντα ἴσασιν. περὶ πάντων.] ὑπὲρ πάντας. Παιήονος.] Παιήων ἰατρὸς θεῶν· οὐχ ὁ αὐτὸς τῷ Ἀπόλλωνι ἀλλὰ κεχωρισμένος. παρὰ μὲν τοῖ τοῖς νεωτέροις ὁ αὐτὸς νομίζεται εἶναι. καὶ Ἡσίοδος δὲ μάρτυς ἐστὶ, τοῦ ἕτερον εἶναι τὸν Παιήονα τοῦ Ἀπόλλωνος, λέγων, εἰ μὴ Ἀπόλλων Φοῖβος ὑπὲκ θανάτοιο σαώσει, ἢ αὐτὸς Παιήων, ὃς ἁπάντων φάρμακα οἶδεν. οἰνοχοῆσαι.] κεράσαι. ἤτοι νῦν δαίνυσθε.] τὸ ἑξῆς Ἀφέλη καὶ πάλιν ἤτοι νῦν δαίνυσθε. Ζεὺς γὰρ ἄλλοτε ἄλλα περιποιεῖ· νῦν μέν τοι ἡμῖν τὸ εὐφραίνεσθαι. καταλέξω.] ἕκαστα ἐρῶ. ἄεθλοι.] ἆθλοι ἀγῶνες.

αὐτὸν μέν.]

Ἀλλ' οἷον τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ
Δήμῳ ἐνὶ Τρώων, ὅθι πάσχετε πήματ' Ἀχαιοί;
Αὐτόν μιν πληγῇσιν ἀεικελίῃσι δαμάσσας,
Σπεῖρα κάκ' ἀμφ' ὤμοισι βαλὼν οἰκῆϊ ἐοικὼς
Ἀνδρῶν δυσμενέων κατέδυ πόλιν εὐρυάγυιαν,
Ἄλλῳ δ' αὐτὸν φωτὶ κατακρύπτων ἤϊσκε
Δέκτῃ, ὃς οὐδὲν τοῖος ἔην ἐπὶ νηυσὶν Ἀχαιῶν,
Τῷ ἴκελος κατέδυ Τρώων πόλιν, οἱ δ' ἀβάκησαν
Πάντες, ἐγὼ δέ μιν οἴη ἀνέγνων, τοῖον ἐόντα.
Καί μιν ἀνηρώτευν, ὁ δὲ κερδοσύνῃ ἀλέεινεν,
Ἀλλ' ὅτε δή μιν ἐγὼν ἐλόευν, ἔχρῖον ἐλαίῳ,
Ἀμφὶ δὲ εἵματα ἕσσα, καὶ ὤμοσα καρτερὸν ὅρκον,
Μὴ μὲν πρὶν Ὀδυσῆα μετὰ Τρώεσσ' ἀναφῆναι,
Πρίν γε τὸν ἐς νῆάς τε θοὰς κλισίας τ' ἀφικέσθαι,
Καὶ τότε δή μοι πάντα νόον κατέλεξεν Ἀχαιῶν,
Πολλοὺς δὲ Τρώων κτείνας ταναήκεϊ χαλκῷ,
Ἦλθε μετ' Ἀργείους, κατὰ δὲ φρόνιν ἤγαγε πολλήν,
Ἔνθ' ἄλλαι Τρῳαὶ λίγ' ἐκώκυον, αὐτὰρ ἐμὸν κῆρ
Χαῖρ', ἐπεὶ ἤδη μοι κραδίη τέτραπτο νέεσθαι
Ἂψ οἶκονδ', ἄτην δὲ μετέστενον, ἣν Ἀφροδίτη
Δῶχ' ὅτε μ' ἤγαγε κεῖσε φίλης ἀπὸ πατρίδος αἴης,
Παῖδά τ' ἐμὴν νοσφισσαμένην θάλαμόν τε, πόσιν τε,
Οὔ τευ δευόμενον, οὔτ' ἂρ φρένας, οὔτε τι εἶδος.
Τὴν δ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος.
Ναὶ δὴ ταῦτά γε πάντα γύναι κατὰ μοῖραν ἔειπες,
Ἤδη μὲν πολέων ἐδάην βουλήν τε νόον τε
Ἀνδρῶν ἡρώων, πολλὴν δ' ἐπελήλυθα γαῖαν.
Ἀλλ' οὔπω τοιοῦτον ἐγὼν ἴδον ὀφθαλμοῖσιν,
Οἷον Ὀδυσσῆος ταλασίφρονος ἔσκε φίλον κῆρ,
Οἷον καὶ τόδ' ἔρεξε, καὶ ἔτλη καρτερὸς ἀνὴρ,
Ἵππῳ ἔνι ξεστῷ, ἵν' ἐνήμεθα πάντες ἄριστοι
Ἀργείων, Τρώεσσι φόνον καὶ κῆρα φέροντες,
Ἦλθες ἔπειτα σὺ κεῖσε, κελευσέμεναι δέ σ' ἔμελλε
Δαίμων, ὃς Τρώεσσιν ἐβούλετο κῦδος ὀρέξαι,
Καί τοι Δηΐφοβος θεοείκελος ἕσπετ' ἰούσῃ.
Τρὶς δὲ περίστειξας κοῖλον λόχον ἀμφαφόωσα
Ἐκ δ' ὀνομακλήδην Δαναῶν ὀνόμαζες ἀρίστους,
Πάντων Ἀργείων φωνὴν ἴσκουσ' ἀλόχοισιν,
Αὐτὰρ ἐγὼ καὶ Τυδείδης καὶ δῖος Ὀδυσσεὺς,
Ἥμενοι ἐν μέσσοισιν, ἀκούσαμεν ὡς ἐβόησας,
Νῶϊ μὲν ἀμφοτέρω μενεήναμεν ὁρμηθέντες
Ἢ ἐξελθέμεναι ἢ ἔνδοθεν αἶψ' ὑπακοῦσαι,
Ἀλλ' Ὀδυσσεὺς κατέρυκε καὶ ἔσχεθεν ἱεμένους περ.
Ἔνθ' ἄλλοι μὲν πάντες ἀκὴν ἔσαν υἷες Ἀχαιῶν,
Ἄντικλος δὲ σέγ' οἶος ἀμείψασθαι ἐπέεσσιν
Ἤθελεν, ἀλλ' Ὀδυσσεὺς ἐπὶ μάστακα χερσὶ πίεζε

αὐτόν μιν.] δύο ἰσοδυναμοῦσαι ἀντωνυμίαι ἀντὶ μιᾶς παραλαμβάνονται. ἀεικελίῃσι.] δυστυχαῖς, δειναῖς, χαλεπαῖς. σπεῖρα κακά.] ἱμάτια, προσέθηκε δὲ κακὰ ἵνα δηλώσῃ ῥάκη. οἰκῆϊ.] οἰκέτῃ δούλῳ. ἀνδρῶν δυσμενέων.] οἱ μὲν ἵνα μετρήσῃ τὸ τεῖχος, οἱ δὲ ἵνα πείσῃ τὴν Ἑλένην συνεργῆσαι τοῖς Ἕλλησι. κατέδυ.] εἰσῆλθεν. ἤϊσκεν.] ἀπείκαζεν, ὡμοιοῦτο. Δέκτῃ.] ἐπαίτῃ, ἀπὸ τοῦ δέχεσθαι. ὃς οὐδὲν τοῖος ἔην.] τὸ δὲν παρέλκει. ἀβάκησαν.] ... ησαν παρὰ τὸ βάζω ἐσχημάτισται ἡ λέξις τῶν ἅπαξ εἰρημένων ἐστίν. ἀνέγνων.] ἐπέγνων. ἀνηρώτευν.] ἠρώτουν. κερδοσύνῃ.] δόλος πανουργία. ἀλέεινεν.] ἐφυλάττετο.

ἐλόευν.] ἔλουον. ἵνα ἀκριβέστερον τὰ καθ' ἑαυτοῦ μάθῃ αὐτοῦ ἔλουεν αὐτόν. ἕσσα.] ἐνέδυσα. ἀναφῆναι.] μηνύσαι, δεῖξαι. ταναήκεϊ χαλκῷ.] τεταμένην ἔχοντι τὴν ἀκμήν. κατὰ δὲ φρόνιν ἤγαγε πολλήν.] κατὰ φρόνησιν αὐτοῦ ἤγαγεν. τουτέστιν ἢ αὐτὸς κατεφρόνησε τότε αὐτοῦ. ἢ τοὺς Ἕλληνας ἐποίησεν αὐτοῦ καταφρονῆσαι. δι' ὧν ἔπραξεν τὴν Ἑλένην. ἢ φρονήσεως ἀπείρου ἑαυτῷ περιέθετο τὸ ὄνομα ταῦτα ποιήσας. οἱ δὲ νεώτεροι φρόνιν τὴν λείαν ἀπεδέξαντο.

λίγα.] ὀξέως. ἐκώκυον.] ἐθρήνουν. μετέστενον.] μετεμελόμην. νέεσθαι.] πορεύεσθαι. νοσφισσαμένη.] χωρίσασα, καταλιποῦσα. πόσιν.] ἄνδρα.

τευ.] τινός. δευόμενον.] ἐνδεῆ ὄντα, ἐνδεόμενον. ἐπελήλυθα.] ἐπῆλθον. ἐδάην.] ἔμαθον. ἵππῳ ἐνὶ ξεστῷ.] τῷ δουρείῳ ἵππῳ καλῶς ἐξεσμένῳ.

ἐνήμεθα.] ἐμβλημένοι ἦμεν. κελευσέμεναι.] προρρίψαι. καί τοι Δηΐφοβος.] ἐπεὶ τελευτήσαντος τοῦ Ἀλεξάνδρου ὑπὸ Φιλοκτήτου, Δηϊφόβῳ ἐγαμήθη ἡ Ἑλένη. θεοείκελος.] θεοῖς ὅμοιος. ἰούσῃ.] πορευομένῃ. τοί.] σοί. περίστειξας.] περιῆλθες ἀπὸ τοῦ στίχειν ὅ ἐστιν πορευθῆναι. κοῖλον λόχον.] τὸν δούρειον ἵππον. ἀμφαφόωσα.] ψηλαφῶσα. ἐκ δ' ὀνομακλήδην.] ἐξ ὀνόματος. ἴσκουσα.] ἀπεικάζουσα.

νῶϊ.] ἡμεῖς. μενεήναμεν.] προεθυμήθημεν. ἔσχεν.] ἐπέσχεν. ἔνδοθεν.] ἔσωθεν. κατέρυκε.] κατέσχεν, ἐκώλυεν. ἱεμένους περ.] καὶ προθυμουμένους. ἀκήν.] ἥσυχοι. ἀμείψασθαι.] ἀποκριθῆναι. μάστακα.] τὸ στόμα. πίεζε.] ἔσφιγγεν.

νωλεμέως.] ἀδιαλείπτως. σάωσε.] ἔσωσεν. ὄφρα.] ἕως. ἄλγιον.] λυπηρόν. ταρπώμεθα.] τερφθῶμεν. ἤρκεσεν.] ἐβοήθησεν. γλυκερῷ.] ἡδεῖ. δέμνια.] στρώματα. ὑπ' αἰθούσῃ.] ὑπαιθρίῳ. στόρεσαν.] ἔστρωσαν. ὑπέρθε.] ὑπεράνωθεν. δάος.] φῶς, λαμπάδα. προδόμῳ.] τῷ πρὸ τοῦ θαλάμου. μυχῷ.] τῷ ἐσωτάτῳ. τανύπεπλος.] τεταμένον πέπλον ἔχουσα. ἐλέξατο.] ἐκοιμήθη. ἦμος.] ἡνίκα, ὅτε. ἴμεν.] πορευθῆναι. δεῦρο.] ἐνθάδε. νῶτα θαλάσσης.] μεταφορικῶς τὸ πλάτος τῆς θαλάσσης εἶπεν. δήμιον.] δημόσιον. νημερτές.] ἀληθές. κληηδόνα.] κληδόνα, φήμην. ἐνίσποις.] εἴποις. πλεῖος.] πλήρης. ὑπέρβιον.] μεγάλην. ἁδινάς.] ἀθρόας. ἱκάνομαι.] ἱκετεύω. ὄπωπας.] ἑώρακας. ὀϊζυρόν.] ταλαίπωρον. μειλίσσεο.] προσηνῶς διαλέγου. ὑποστάς.] ὑποδεξάμενος. ἔνισπε.] εἰπέ.

ξυνόχῳ.]

Νωλεμέως κρατέουσι, σάωσε δὲ πάντας Ἀχαιούς,
Τόφρα δ' ἔχ' ὄφρα σε νόστιμον ἀπήγαγε Παλλὰς Ἀθήνη.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Ἀτρείδη Μενέλαε διοτρεφὲς ὄρχαμε λαῶν,
Ἄλγιον, οὐ γάρ οἵ τι τάγ' ἤρκεσε λυγρὸν ὄλεθρον,
Οὐδ' εἴ οἱ κραδίη γε σιδηρέη ἔνδοθεν ἦεν.
Ἀλλ' ἄγετ' εἰς εὐνὴν τράπεθ' ἡμέας, ὄφρα καὶ ἤδη
Ὕπνῳ ὕπο γλυκερῷ ταρπώμεθα κοιμηθέντες.
Ὣς ἔφατ', Ἀργείη δ' Ἑλένη δμωῇσι κέλευσε,
Δέμνι' ὑπ' αἰθούσῃ θέμεναι, καὶ ῥήγεα καλὰ
Πορφύρε' ἐμβαλέειν, στορέσαι τ' ἐφύπερθε τάπητας,
Χλαίνας τ' ἐνθέμεναι οὔλας, καθύπερθεν ἕσασθαι,
Αἱ δ' ἴσαν ἐκ μεγάροιο, δάος μετὰ χερσὶν ἔχουσαι.
Δέμνια δὲ στόρεσαν, ἐκ δὲ ξείνους ἄγε κῆρυξ,
Οἱ μὲν ἄρ' ἐν προδόμῳ δόμου αὐτόθι κοιμήσαντο,
Τηλέμαχός θ' ἥρως, καὶ Νέστορος ἀγλαὸς υἱός,
Ἀτρείδης δὲ καθεῦδε μυχῷ δόμου ὑψηλοῖο,
Πὰρ δ' Ἑλένη τανύπεπλος ἐλέξατο δῖα γυναικῶν,
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Ὤρνυτ' ἄρ' ἐξ εὐνῆφι βοὴν ἀγαθὸς Μενέλαος
Εἵματα ἑσσάμενος, περὶ δὲ ξίφος ὀξὺ θέτ' ὤμῳ.
Ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα.
Βῆ δ' ἴμεν ἐκ θαλάμοιο θεῷ ἐναλίγκιος ἄντην,
Τηλεμάχῳ δὲ παρῖζεν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε,
Τίπτε δέ σε χρειὼ δεῦρ' ἤγαγε Τηλέμαχ' ἥρως
Ἐς Λακεδαίμονα δῖαν, ἐπ' εὐρέα νῶτα θαλάσσης,
Δήμιον ἦ ἴδιον, τὸ δέ μοι νημερτὲς ἐνίσπε.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα.
Ἀτρείδη Μενέλαε διοτρεφὲς ὄρχαμε λαῶν,
Ἤλυθον εἴ τινά μοι κληηδόνα πατρὸς ἐνίσποις,
Ἐσθίεταί μοι οἶκος, ὄλωλε δὲ πίονα ἔργα.
Δυσμενέων δ' ἀνδρῶν πλεῖος δόμος, οἵ τέ μοι αἰεὶ
Μῆλ' ἁδινὰ σφάζουσι, καὶ εἰλίποδας ἕλικας βοῦς,
Μητρὸς ἐμῆς μνηστῆρες ὑπέρβιον ὕβριν ἔχοντες,
Οὕνεκα νῦν τὰ σὰ γοῦναθ' ἱκάνομαι, αἴ κ' ἐθέλῃσθα,
Κείνου λυγρὸν ὄλεθρον ἐνισπεῖν, εἴ που ὄπωπας
Ὀφθαλμοῖσι τεοῖσιν, ἢ ἄλλου μῦθον ἄκουσας
Πλαζομένου, περὶ γάρ μιν ὀϊζυρὸν τέκε μήτηρ,
Μηδέ τί μ' αἰδόμενος μειλίσσεο, μηδ' ἐλεαίρων,
Ἀλλ' εὖ μοι κατάλεξον, ὅπως ἤντησας ὀπωπῆς,
Λίσσομαι, εἴ ποτέ τοι τι πατὴρ ἐμὸς ἐσθλὸς Ὀδυσσεὺς
Ἢ ἔπος, ἠέ τι ἔργον ὑποστὰς ἐξετέλεσσε
Δήμῳ ἔνι Τρώων, ὅθι πάσχετε πήματ' Ἀχαιοί,
Τῶν νῦν μοι μνῆσαι, καί μοι νημερτὲς ἐνίσπε.
Τὸν δὲ μέγ' ὀχθήσας προσέφη ξανθὸς Μενέλαος,
Ὢ πόποι, ἦ μάλα δὴ κρατερόφρονος ἀνδρὸς ἐν εὐνῇ

Ἤθελον

Ἤθελον εὐνηθῆναι ἀνάλκιδες αὐτοὶ ἐόντες,
Ὡς δ' ὁπότ' ἐν ξυλόχῳ ἔλαφος κρατεροῖο λέοντος
Νεβροὺς κοιμήσασα νεηγενέας γαλαθηνοὺς
Κνημοὺς ἐξερέῃσι, καὶ ἄγκεα ποιήεντα
Βοσκομένη, ὁ δ' ἔπειτα ἑὴν εἰσήλυθεν εὐνὴν,
Ἀμφοτέροισι δὲ τοῖσιν ἀεικέα πότμον ἐφῆκεν,
Ὣς Ὀδυσεὺς κείνοισιν ἀεικέα πότμον ἐφήσει,
Αἲ γὰρ Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη καὶ Ἄπολλον,
Τοῖος ἐὼν, οἷός ποτ' ἐϋκτιμένῃ ἐνὶ Λέσβῳ,
Ἐξ ἔριδος Φιλομηλείδῃ ἐπάλαισεν ἀναστὰς,
Κὰδ δ' ἔβαλε κρατερῶς, κεχάροντο δὲ πάντες Ἀχαιοί,
Τοῖος ἐὼν, μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσεὺς,
Πάντες κ' ὠκύμοροί τε γενοίατο, πικρόγαμοί τε,
Ταῦτα δ' ἅ μ' εἰρωτᾷς καὶ λίσσεαι οὐκ ἂν ἔγωγε,
Ἄλλα παρὲξ εἴποιμι παρακλιδὸν, οὐδ' ἀπατήσω,
Ἀλλὰ τὰ μέν μοι ἔειπε γέρων ἅλιος νημερτὴς,
Τῶν οὐδέν τοι ἐγὼ κρύψω ἔπος, οὐδ' ἐπικεύσω,
Αἰγύπτῳ μ' ἔτι δεῦρο θεοὶ μεμαῶτα νέεσθαι
Ἔσχον, ἐπεὶ οὔ σφιν ἔρεξα τεληέσσας ἑκατόμβας,
Οἱ δ' αἰεὶ βούλοντο θεοὶ μεμνῆσθαι ἐφετμέων.
Νῆσος ἔπειτά τις ἔστι, πολυκλύστῳ ἐνὶ πόντῳ
Αἰγύπτου προπάροιθε, Φάρον δέ ἑ κικλήσκουσι,
Τόσσον ἄνευθ', ὅσσον τε πανημερίη γλαφυρὴ νηῦς,
Ἤνυσεν, ᾗ λιγὺς οὖρος ἐπιπνείῃσιν ὄπισθεν.
Ἐν δὲ λιμὴν εὔορμος, ὅθεν τ' ἀπὸ νῆας ἐΐσας
Ἐς πόντον βάλλουσιν, ἀφυσσάμενοι μέλαν ὕδωρ.
Ἔνθα μ' ἐείκοσιν ἤματ' ἔχον θεοὶ, οὐδέ ποτ' οὖροι
Πνείοντες φαίνονθ' ἁλιαέες, οἵ ῥά τε νηῶν
Πομπῆες γίνονται ἐπ' εὐρέα νῶτα θαλάσσης.
Καί νύ κεν ἤια πάντα κατέφθιτο καὶ μένε' ἀνδρῶν,
Εἰ μή τίς με θεῶν ὀλοφύρατο, καί μ' ἐλέησεν,
Πρωτέος ἰφθίμου θυγάτηρ ἁλίοιο γέροντος
Εἰδοθέη, τῇ γάρ ῥα μάλιστά γε θυμὸν ὄρινα,
Ἥ μ' οἴῳ ἔρροντι συνήντετο νόσφιν ἑταίρων.
Αἰεὶ γὰρ περὶ νῆσον ἀλώμενοι ἰχθυάασκον
Γναμπτοῖς ἀγκίστροισιν, ἔτειρε δὲ γαστέρα λιμός.
Ἡ δέ μευ ἄγχι στᾶσα, ἔπος φάτο, φώνησέν τε.
Νήπιός εἰς ὦ ξεῖνε λίην τόσον, ἠδὲ χαλίφρων,
Ἠὲ ἑκὼν μεθιεῖς, καὶ τέρπεαι ἄλγεα πάσχων,
Ὡς δὴ δήθ' ἐνὶ νήσῳ ἐρύκεαι, οὐδέ τι τέκμωρ
Εὑρέμεναι δύνασαι, μινύθει δέ τοι ἦτορ ἑταίρων.
Ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον,
Ἐκ μέν τοι ἐρέω ἥτις σύ περ ἐσσὶ θεάων,
Ὡς ἐγὼ οὔτι ἑκὼν κατερύκομαι, ἀλλά νυ μέλλω
Ἀθανάτους ἀλιτέσθαι, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν,
Ἀλλὰ σύ πέρ μοι εἰπὲ, θεοὶ δέ τε πάντα ἴσασιν,

Ὅς τίς

ξυλόχῳ.] συνδένδρῳ τόπῳ, κοίτῃ θηρίων. νεβρούς.] τὰ ἔγγονα τῶν ἐλάφων. νεηγενέας.] νεωστὶ τεχθείσας, νηπίας. γαλαθηνούς.] μικρούς, ἔτι γάλακτι τρεφομένους. κνημοὺς τὰς προβάσεις τῶν ὀρέων. ἐρέῃσιν.] ἐξερευνᾷ. ἄγκεα.] τοὺς κοίλους τόπους τῶν ὀρέων. ποιήεντα βοτανώδη.

ἑήν.] τὴν ἑαυτοῦ. εἰσήλυθεν.] εἰσῆλθεν. ἐφήσει.] ἐπιβαλεῖ. κὰδ δ' ἔβαλε δέ.] κατέβαλε δέ, ἐφῆκεν. ἐπεμψεν. Φιλομηλείδῃ.] τῷ Πατρόκλῳ. Φιλομήλας γὰρ ἦν υἱός. κεχάροντο.] ἐχάρησαν. ὁμιλήσειεν.] συμβάλοι, μαχέσαιτο. λίσσεαι.] ἱκετεύεις, παρακαλέσεις. παρέξ.] ἔξω παρὰ ταῦτα. παρακλιδόν.] παρακλινθείσης, παρατραπείσης. γέρων ἅλιος.] θαλάσσιος γέρων ὁ Πρωτεύς. νημερτής.] ἀληθής, ἀψευδής. Φάρον.] νῆσον Αἰγύπτου, τὴν νῦν Ἀλεξάνδρειαν. ἐπιπνείῃσιν.] ἐπιπνέει. εὔορμος.] εὐκαθόρμιστος. τόσσον ἄνευθεν.] εἰκότως τοσοῦτον εἶναι κατὰ τοὺς ἡρωικοὺς χρόνους τὸ διάστημα. ἔπειτα ἀπὸ γαιωθῆναι τοῦ Νείλου ὑπερχέοντος τὴν ἰλύν, ποταμόχωστος γὰρ ἡ Αἴγυπτος κατὰ Ἡρόδοτον. ἄνευθε.] μακρὰν, πόρρω. πανημερίη.] διὰ πάσης ἡμέρας. γλαφυρή.] κοίλη. ἤνυσε.] διεπέρασεν. ἀφυσσάμενοι.] ἀντλήσαντες. ἁλιαέες.] οἱ ἐν τῇ θαλάσσῃ πνέοντες. ἤια.] ἐφόδια. κατέφθιτο.] κατανάλωτο, ἀπέλιπεν. ὠλοφύρατο.] ᾤκτειρεν. Πρωτέος θυγατήρ.] Εἰδοθέα. ὄρινα.] ἐτάραξα.

ἔρροντι.] μετὰ λύπης πορευομένῳ καὶ φθορᾶς. ἀλώμενοι.] πλανώμενοι. ἰχθυάασκον.] ἰχθῦς ἤγρευον.

γναμπτοῖς.] ἐπικαμπέσιν. ἔτειρε.] κατεπόνει. χαλίφρων.] κεχαλασμένας ἔχων τὰς φρένας ἢ ἠλίθιος.

μεθίεις.] ἀμελεῖς. ἐρύκεαι.] κατέχῃ, κωλύῃ. μινύθει.] ἐλαττοῦται, μειοῦται. κατερύκομαι.] κατέχομαι.

μέλλω.] ἔοικα. ἀλιτέσθαι.] ἁμαρτῆσαι.

σιδάα.]

πεδάᾳ.] ἐμποδίζει, κατέχει. πωλεῖται.] ἀναστρέφεται παραγίγνεται. ὑποδμώς.] θεράπων, ὑπηρέτης. δύναιο.] δυνηθεὶς. λοχησάμενος.] ἐνεδρεύσας. λελαβέσθαι.] ἐπιλαβέσθαι, κρατῆσαι. δολιχὴν.] μακράν. φράζευ.] διανοοῦ, βουλεύου. προδαεὶς.] προμαθών. ἀλέηται.] ἐκκλίνῃ, φυλάξηται. δαμῆναι.] δαμασθῆναι. ἀμφιβεβήκει.] περιέχει. ἐξ ἁλὸς.] ἤτοι ἔξω τῆς θαλάσσης. φρικί.] τῇ ἐπιγινομένῃ μελανίᾳ ἐν τῷ ἐκ τῆς ἐπιπολαίου κινήσεως τῶν ὑδάτων. ἀμφὶ δέ μιν φῶκαι.] περὶ αὐτὸν γὰρ φώκας συνδιαιτᾶται ὁ Πρωτεύς. ἐπιτηδειότατον γὰρ τῶν ἐναλίων ζώων τοῦτο εἰς μαγείαν. νέποδες.] αἱ διὰ τοῦ νήχεσθαι τὴν πορείαν ποιούμεναι, ἢ ἄποδες. ἁλοσύδνης.] τῆς θαλάσσης, παρὰ τὸ ἐν ἁλὶ σεύεσθαι. ἁθρόαι.] ὁμοῦ πᾶσαι. ἀποπνείουσαι.] ὄζουσαι. πολυβενθέος.] πολὺ βάθος ἐχούσης. εὐνάσω.] κατακλινῶ, κοιμίσω. κρίνασθαι.] ἐπιλέξασθαι. ὀλοφώϊα.] ὀλέθρια, ἢ ἀπόκρυφα, ἢ δόλια. ἔπεισιν.] ἐπελεύσεται.

πεμπάσσεται.] κατὰ πέντε ἀριθμήσει. λέξεται.] κατακλιθήσεται.

νομεύς.] ὡς ποιμήν. πώεσι.] ποιμνίοις. κατευνηθέντα.] κοιμηθέντα. ἀλύξαι.] ἐκφυγεῖν. πειρήσεται.] πειραθείη. ἑρπετά.] κυρίως μὲν οἱ ὄφεις, καταχρηστικῶς δὲ νῦν πάντα τὰ θηρία. ἀστεμφέως.] ἀσφαλῶς βεβαίως ἀμετακινήτως. πιέζειν βιαιότερον.] βιαιότερον κρατεῖν. ἀνείρηται.] ἐρωτήσει. εἴρεσθαι.] ἐρωτᾶν.

σχέσθαι.] παῦσαι. ἐλεύσεαι.] ἔλθῃς, περάσεις. χαλέπτει.] βλάπτει. ἐδύσατο.] κατέδυνεν. ᾔϊα.] ἐπορευόμην ἢ ἐπορευόμην.

πορφύρε.]

Ὅς τίς μ' ἀθανάτων πεδάᾳ καὶ ἔδησε κελεύθου,
Νόστον θ', ὡς ἐπὶ πόντον ἐλεύσομαι ἰχθυόεντα.
Ὣς ἐφάμην, ἡ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων,
Τοιγὰρ ἐγώ τοι ξεῖνε μάλ' ἀτρεκέως καταλέξω,
Πωλεῖταί τις δεῦρο γέρων ἅλιος νημερτής,
Ἀθάνατος Πρωτεὺς Αἰγύπτιος, ὅς τε θαλάσσης
Πάσης βένθεα οἶδε Ποσειδάωνος ὑποδμώς,
Τὸν δέ τ' ἐμόν φασιν πατέρ' ἔμμεναι ἠδὲ τεκέσθαι,
Τόν γ' εἴ πως σὺ δύναιο λοχησάμενος λελαβέσθαι,
Ὅς κέν τοι εἴπῃσιν ὁδὸν καὶ μέτρα κελεύθου,
Νόστον θ' ὡς ἐπὶ πόντον ἐλεύσεαι ἰχθυόεντα,
Καὶ δέ κέ τοι εἴπῃσι διοτρεφὲς αἴκ' ἐθέλῃσθα,
Ὅ,ττι τοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται
Οἰχομένοιο σέθεν δολιχὴν ὁδὸν ἀργαλέην τε.
Ὣς ἔφατ' αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον.
Αὐτὴ νῦν φράζευ σὺ λόχον θείοιο γέροντος,
Μήπως με προϊδὼν ἠὲ προδαεὶς ἀλέηται,
Ἀργαλέος γάρ τ' ἐστὶ θεὸς βροτῷ ἀνδρὶ δαμῆναι,
Ὣς ἐφάμην, ἡ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων.
Τοιγὰρ ἐγώ τοι ξεῖνε μάλ' ἀτρεκέως καταλέξω.
Ἦμος δ' ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει,
Τῆμος ἄρ' ἐξ ἁλὸς εἶσι γέρων ἅλιος νημερτής,
Πνοιῇ ὑπὸ ζεφύροιο μελαίνῃ φρικὶ καλυφθείς,
Ἐκ δ' ἐλθὼν κοιμᾶται ὑπὸ σπέσσι γλαφυροῖσιν.
Ἀμφὶ δέ μιν φῶκαι νέποδες καλῆς ἁλοσύδνης
Ἁθρόαι εὕδουσιν πολιῆς ἁλὸς ἐξαναδῦσαι,
Πικρὸν ἀποπνείουσαι ἁλὸς πολυβενθέος ὀδμήν,
Ἔνθα σ' ἐγὼν ἀγαγοῦσα, ἅμ' ἠοῖ φαινομένηφι
Εὐνάσω ἑξείης, σὺ δ' εὖ κρίνασθαι ἑταίρους
Τρεῖς, οἵ τοι παρὰ νηυσὶν ἐϋσσέλμοισιν ἄριστοι,
Πάντα δέ τοι ἐρέω ὀλοφώϊα τοῖο γέροντος,
Φώκας μέν τοι πρῶτον ἀριθμήσει καὶ ἔπεισιν.
Αὐτὰρ ἐπὴν πάσας πεμπάσσεται, ἠδὲ ἴδηται,
Λέξεται ἐν μέσσῃσι νομεὺς ὣς πώεσι μήλων,
Τὸν μὲν ἐπὴν δὴ πρῶτα κατευνηθέντα ἴδησθε,
Καὶ τότ' ἔπειθ' ὑμῖν μελέτω κάρτος τε βίη τε.
Αὖθι δ' ἔχειν μεμαῶτα καὶ ἐσσύμενόν περ ἀλύξαι,
Πάντα δὲ γινόμενος πειρήσεται, ὅσσ' ἐπὶ γαῖαν
Ἑρπετὰ γίνονται καὶ ὕδωρ καὶ θεσπιδαὲς πῦρ,
Ὑμεῖς δ' ἀστεμφέως ἐχέμεν μᾶλλόν τε πιέζειν.
Ἀλλ' ὅτε κέν δή σ' αὐτὸς ἀνείρηται ἐπέεσσιν,
Τοῖος ἐὼν οἷόν κε κατευνηθέντα ἴδησθε.
Καὶ τότε δὴ σχέσθαι τε βίης, λῦσαί τε γέροντα
Ἥρως, εἴρεσθαι δὲ θεῶν, ὅς τίς σε χαλέπτει,
Νόστον θ', ὡς ἐπὶ πόντον ἐλεύσεαι ἰχθυόεντα,
Ὣς εἰποῦσ' ὑπὸ πόντον ἐδύσατο κυμαίνοντα,

Αὐτὰρ

Αὐτὰρ ἐγὼν ἐπὶ νῆας, ὅθ' ἕστασαν ἐν ψαμάθοισιν
Ἤια, πολλὰ δέ μοι κραδίη πόρφυρε κιόντι.
Αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλυθον, ἠδὲ θάλασσαν,
Δόρπον θ' ὁπλισάμεσθ', ἐπί τ' ἤλυθεν ἀμβροσίη νύξ,
Δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης,
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Καὶ τότε δὴ παρὰ θῖνα θαλάσσης εὐρυπόροιο
Ἤια πολλὰ θεοὺς γουνούμενος, αὐτὰρ ἑταίρους
Τρεῖς ἄγον, οἷσι μάλιστα πεποίθεα πᾶσαν ἐπ' ἰθύν,
Τόφρα δ' ἄρ' ἥγ' ὑποδῦσα θαλάσσης εὐρέα κόλπον,
Τέσσαρα φωκάων ἐκ πόντου δέρματ' ἔνεικε,
Πάντα δ' ἔσαν νεόδαρτα, δόλον δ' ἐπεμήδετο πατρὶ
Εὐνὰς δ' ἐν ψαμάθοισι διαγλάψασ' ἁλίῃσιν,
Ἧστο μένουσ', ἡμεῖς δὲ μάλα σχεδὸν ἤλθομεν αὐτῆς,
Ἑξείης δ' εὔνησε, βάλεν δ' ἐπὶ δέρμα ἑκάστῳ
Κεῖθι δὴ αἰνότατος λόχος ἔπλετο, τεῖρε γὰρ αἰνῶς
Φωκάων ἁλιοτρεφέων ὀλοώτατος ὀδμή.
Τίς γάρ κ' εἰναλίῳ παρὰ κήτεϊ κοιμηθείη;
Ἀλλ' αὐτὴ ἐσάωσε καὶ ἐφράσατο μέγ' ὄνειαρ.
Ἀμβροσίην ὑπὸ ῥῖνα ἑκάστῳ θῆκε φέρουσα
Ἡδὺ μάλα πνείουσαν, ὄλεσσε δὲ κήτεος ὀδμήν,
Πᾶσαν δ' ἠοίην μένομεν τετληότι θυμῷ
Φῶκαι δ' ἐξ ἁλὸς ἦλθον ἀολλέες, αἱ μὲν ἔπειτα
Ἑξῆς εὐνάζοντο παρὰ ῥηγμῖνι θαλάσσης.
Ἔνδιος δ' ὁ γέρων ἦλθ' ἐξ ἁλὸς, εὗρε δὲ φώκας
Ζατρεφέας, πάσας δ' ἄρ' ἐπῴχετο, λέκτο δ' ἀριθμόν
Ἐν δ' ἡμέας πρώτους λέγε κήτεσιν, οὐδέ τι θυμῷ
Ὠΐσθη δόλον εἶναι, ἔπειτα δὲ λέκτο καὶ αὐτός,
Ἡμεῖς δ' αὖ ἰάχοντες ἐπεσσύμεθ', ἀμφὶ δὲ χεῖρας
Βάλλομεν, οὐδ' ὁ γέρων δολίης ἐπελήθετο τέχνης,
Ἀλλ' ἤτοι πρώτιστα λέων γένετ' ἠϋγένειος,
Αὐτὰρ ἔπειτα δράκων, καὶ πάρδαλις, ἠδὲ μέγας σῦς,
Γίνετο δ' ὑγρὸν ὕδωρ, καὶ δένδρεον ὑψιπέτηλον.
Ἡμεῖς δ' ἀστεμφέως ἔχομεν τετληότι θυμῷ.
Ἀλλ' ὅτε δή ῥ' ἀνίαζ' ὁ γέρων ὀλοφώϊα εἰδώς
Καὶ τότε δή μ' ἐπέεσσιν ἀνειρόμενος προσέειπεν,
Τίς νύ τοι Ἀτρέος υἱὲ θεῶν συμφράσσατο βουλάς,
Ὄφρα μ' ἕλοις ἀέκοντα λοχησάμενος, τέο σε χρή;
Ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον,
Οἶσθα γέρον, τί με ταῦτα παρατροπέων ἐρεείνεις;
Ὡς δὴ δηθ' ἐνὶ νήσῳ ἐρύκομαι, οὐδέ τι τέκμωρ
Εὑρέμεναι δύναμαι, μινύθει δέ μοι ἔνδοθεν ἦτορ.
Ἀλλὰ σύ πέρ μοι εἰπὲ, θεοὶ δέ τε πάντα ἴσασιν,
Ὅς τίς μ' ἀθανάτων πεδάᾳ καὶ ἔδησε κελεύθου,
Νόστον θ', ὡς ἐπὶ πόντον ἐλεύσομαι ἰχθυόεντα.
Ὣς ἐφάμην, ὁ δέ μ' αὖτις ἀμειβόμενος προσέειπεν.

Ἀλλ᾽

πόρφυρε.] ἐν βάθει τῆς διανοίας διενοεῖτο καὶ ἐκινεῖτο καὶ ἐταράσσετο. ὥσπερ συμβαίνει ἐπὶ τῶν ὑδάτων, τὰ ἐν βάθει κινούμενα μελαίνεσθαι. κιόντι.] ἀπιόντι. ὁπλισάμεθα.] παρεσκευάσαμεν. ἀμβροσίη.] ἄφθαρτος, θεία. πεποίθεα.] ἐπεποίθειν, ἐθάρρουν. πᾶσαν ἐπ' ἰθύν.] ἐπὶ πᾶσαν ὁρμὴν καὶ πρᾶξιν. εὐρέα.] πλατεῖαν, ἢ μεγάλην. ὑποδῦσα.] κατελθοῦσα. νεόδαρτα.] νεωστὶ ἐκδαρέντα. διαγνάψασα.] διακοιλάνασα. εὔνησεν.] κατέκλινεν, ἐκοίμισεν. αἰνότατος.] δεινότατος, χαλεπώτατος. τεῖρε.] κατεπόνει. ἁλιοτρεφέων.] τῶν ἐν τῇ θαλάσσῃ τρεφομένων. εἰναλίῳ.] θαλασσίῳ. ὄνειαρ.] ὠφέλειαν. ἡδύ.] ἡδέως. ὀλοώτατος.] ὀλεθριώτατος. ἀμβροσίην.] νῦν τὸ θεῖον καὶ εὐῶδες ἔλαιον. ἠοίην.] τὴν ἀπὸ πρωΐας ἕως ὥρας ἕκτης καιρόν. τετληκότι.] καρτερικῷ, ὑπομονητικῷ. ἑξῆς.] ἐφεξῆς κατὰ στίχον. εὐνάζοντο.] ἐκοιμῶντο. ἔνδιος.] μεσημβρινός. τότε γὰρ ἄρχεται λοιπὸν ἐνδιᾶν ἡ ἕλη. ὅ ἐστιν ἡ ἀκτὶς ἡλίου. ζατρεφέας.] εὐτραφεῖς. λέκτο.] ἠρίθμησεν. λέγε.] κατηρίθμει. ὠΐσθη.] ὑπενόησεν. λέκτο.] νῦν ἐκαθεύδησεν. ἰάχοντες.] βοήσαντες. ἐπεσσύμεθα.] μετὰ ὁρμῆς ἐπήλθομεν.

ἀλλ' ἤτοι πρώτιστα.] οὐ καλῶς μετέβαλεν, ἀλλὰ φαντασίαν ἐποίει τέχνῃ μαγικῇ. ἐλήφθη γὰρ ἐν δόλῳ ὁ προμαντευόμενος. ὁ γὰρ προφητικῶς ἐπὶ τὰς μεθόδους τῆς μαντείας. ἔχομεν.] κατέχομεν. ἠϋγένειος.] καλὸν ἔχων γένειον.] ἀνίαζεν.] ἐστέναζεν. ἀνειρόμενος.] ἐρωτῶν. τέο σε χρή.] τί ἐστι σοὶ χρεία ἐστίν. παρατροπέων.] παραλογιζόμενος. ἐρύκομαι.] κατέχομαι. πεδάᾳ.] ἐμποδίζει, κατέχει. ἐλεύσομαι.] ἔλθω, διαπεράσω. ἀφίλλις.]

ὤφελλες.] ὤφειλες. ἀναβαινέμεν.] ἀναβαίνειν ἐπὶ τῆς πλοίων δηλονότι. ἵκοιο.] παραγένοιο, ἔλθοις. Αἰγύπτοιο.] Αἴγυπτος ὁ Νεῖλος πρότερον ἐκαλεῖτο. Διιπετέος.] τοῦ ὑπὸ Διὸς πληρουμένου. κατεκλάσθη.] ἐλυπήθη λίαν. δολιχὴν.] μακράν.

τελέσω.] τελειώσω, πληρώσω. ἀδευκέϊ.] ἀπροσδοκήτῳ χαλεπῷ. τολύπευσεν.] ἐμηχανήσατο. μετὰ κακοπαθείας ποιῆσαι, τολυπεύειν ἐργάζεσθαι· τολύπη ἡ ἐργασία, τολύπευτον κατασκευαστὸν καὶ περιφιλοκαλημένον ἔριον.

διείρεαι.] ἐρωτᾷς. δαῆναι.] μαθεῖν. ἀρχοὶ δ' αὖ δύο.] τὸν Αἴαντα τὸν Λοκρὸν λέγει καὶ τὸν Ἀγαμέμνονα. καὶ γὰρ αὐτὸς οὐδέπω εἰς τὴν αὐτοῦ παρῆν οἰκίαν. παρῆσθα.] παρῆς. δολιχηρέτμοισι.] μεγάλαις, ἐπιμήκεσι, μακροτάταις. γυρῇσι.] πέτραις πλησίον Μυκόνου τῆς νήσου οὕτως καλουμέναις. ἐπεὶ εἰσὶ περιφερεῖς. ἐπέλασσε.] προσήγγισεν. ἐχθόμενος.] λυπούμενος.

ὑπερφίαλον.] ὑπερήφανον. ἀάσθη.] ἐβλάβη. ἀέκητι.] ἀβουλίᾳ παρὰ γνώμην. λαῖτμα.] βάθος ἢ διάστημα. αὐτόθι.] ἐπὶ χώρας, ἐπὶ τόπου.

ἔλασε.] ἔπληξεν. γυραίην πέτρην.] τὰς γύρας. τρύφος.] τὸ ἀπόκλασμα. ἐφεζόμενος.] ἐπικαθήμενος. ἐφόρει.] ἔφερεν. ἀπείρονα.] τὸν μέγαν. καὶ πέρας μὴ ἔχοντα.

ὑπάλυξεν.] διέφυγεν. Μαλειάων.] ἀκρωτήριον τῆς Λακωνικῆς.

ἵξεσθαι.] ἀφίξεσθαι, παραγίνεσθαι. θύελλα.] ἀνέμων συστροφή.

ναῖε.] ᾤκει.

Θυεστιάδης.]

Ἀλλὰ μάλ' ὤφελλες Διΐ τ' ἄλλοισίν τε θεοῖσιν
ῥέξας ἱερὰ κάλ' ἀναβαινέμεν, ὄφρα τάχιστα
σὴν ἐς πατρίδ' ἵκοιο, πλέων ἐπὶ οἴνοπα πόντον.
οὐ γάρ τοι πρὶν μοῖρα φίλους τ' ἰδέειν καὶ ἱκέσθαι
οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν,
πρίν γ' ὅτ' ἂν Αἰγύπτοιο Διιπετέος ποταμοῖο
αὖτις ὕδωρ ἔλθῃς, ῥέξῃς θ' ἱερὰς ἑκατόμβας
ἀθανάτοισι θεοῖσι τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
καὶ τότε τοι δώσουσιν ὁδὸν θεοί, ἣν σὺ μενοινᾷς.
Ὣς ἔφατ', αὐτὰρ ἐμοί γε κατεκλάσθη φίλον ἦτορ,
οὕνεκά μ' αὖτις ἄνωγεν ἐπ' ἠεροειδέα πόντον
Αἴγυπτόνδ' ἰέναι, δολιχὴν ὁδὸν ἀργαλέην τε.
Ἀλλὰ καὶ ὧς μιν ἔπεσσιν ἀμειβόμενος προσέειπον.
ταῦτα μὲν οὕτω δὴ τελέω γέρον, ὡς σὺ κελεύεις.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον,
εἰ πάντες σὺν νηυσὶν ἀπήμονες ἦλθον Ἀχαιοί,
οὓς Νέστωρ καὶ ἐγὼ λίπομεν Τροίηθεν ἰόντες,
ἦέ τις ὤλετ' ὀλέθρῳ ἀδευκέϊ ἧς ἐπὶ νηός,
ἠὲ φίλων ἐν χερσὶν ἐπεὶ πόλεμον τολύπευσεν.
Ὣς ἐφάμην, ὁ δέ μ' αὖτις ἀμειβόμενος προσέειπεν.
Ἀτρείδη, μή με ταῦτα διείρεαι, οὐδέ τι σε χρὴ
ἴδμεναι, οὐδὲ δαῆναι ἐμὸν νόον, οὐδέ σε φημὶ
δὴν ἄκλαυστον ἔσεσθαι, ἐπεί κ' εὖ πάντα πύθηαι.
πολλοὶ μὲν γὰρ τῶν γε δάμεν, πολλοὶ δὲ λίποντο.
ἀρχοὶ δ' αὖ δύο μοῦνοι Ἀχαιῶν χαλκοχιτώνων,
ἐν νόστῳ ἀπόλοντο, μάχῃ δέ τε καὶ σὺ παρῆσθα.
εἷς δ' ἔτι που ζωὸς κατερύκεται εὐρέϊ πόντῳ,
Αἴας μὲν μετὰ νηυσὶ δάμη δολιχηρέτμοισι,
γυρῇσίν μιν πρῶτα Ποσειδάων ἐπέλασσε
πέτρῃσιν μεγάλῃσι, καὶ ἐξεσάωσε θαλάσσης.
καί νύ κεν ἔκφυγε κῆρα καὶ ἐχθόμενός περ Ἀθήνῃ,
εἰ μὴ ὑπερφίαλον ἔπος ἔκβαλε, καὶ μέγ' ἀάσθη.
φῆ ῥ' ἀέκητι θεῶν φυγέειν μέγα λαῖτμα θαλάσσης.
τοῦ δὲ Ποσειδάων μεγάλ' ἔκλυεν αὐδήσαντος.
αὐτίκ' ἔπειτα τρίαιναν ἑλὼν χερσὶ στιβαρῇσιν,
ἤλασε γυραίην πέτρην, ἀπὸ δ' ἔσχισεν αὐτήν.
καὶ τὸ μὲν αὐτόθι μεῖνε, τὸ δὲ τρύφος ἔμπεσε πόντῳ.
τῷ ῥ' Αἴας τὸ πρῶτον ἐφεζόμενος μέγ' ἀάσθη.
τὸν δ' ἐφόρει κατὰ πόντον ἀπείρονα κυμαίνοντα.
ὣς ὁ μὲν ἔνθ' ἀπόλωλεν, ἐπεὶ πίεν ἁλμυρὸν ὕδωρ.
σὸς δέ που ἔκφυγε κῆρας ἀδελφεὸς, ἠδ' ὑπάλυξεν
ἐν νηυσὶ γλαφυρῇσι, σάωσε δὲ πότνια Ἥρη.
ἀλλ' ὅτε δὴ τάχ' ἔμελλε Μαλειάων ὄρος αἰπὺ
ἵξεσθαι, τότε δή μιν ἀναρπάξασα θύελλα
πόντον ἐπ' ἰχθυόεντα φέρειν μεγάλα στενάχοντα
ἀγροῦ ἐπ' ἐσχατιὴν, ὅθι δώματα ναῖε Θυέστης

Τὸ πρίν,

Τὸ πρίν, ἀτὰρ τότ' ἔναιε Θυεστιάδης Αἴγισθος.
Ἀλλ' ὅτε δὴ καὶ κεῖθεν ἐφαίνετο νόστος ἀπήμων,
Ἂψ δὲ θεοὶ οὖρον στρέψαν, καὶ οἴκαδ' ἵκοντο.
Ἦ τοι ὁ μὲν χαίρων ἐπεβήσετο πατρίδος αἴης,
Καὶ κύνει ἁπτόμενος ἣν πατρίδα, πολλὰ δ' ἀπ' αὐτοῦ
Δάκρυα θερμὰ χέοντ' ἐπεὶ ἀσπασίως ἴδε γαῖαν.
Τὸν δ' ἄρ' ἀπὸ σκοπιῆς εἶδε σκοπός, ὅν ῥα καθεῖσεν
Αἴγισθος δολόμητις ἄγων, ὑπὸ δ' ἔσχετο μισθὸν,
Χρυσοῦ δοιὰ τάλαντα, φύλασσε δ' ὅ γ' εἰς ἐνιαυτὸν,
Μή ἑ λάθοι παριών, μνήσαιτο δὲ θούριδος ἀλκῆς.
Βῆ δ' ἴμεν ἀγγελέων πρὸς δώματα ποιμένι λαῶν.
Αὐτίκα δ' Αἴγισθος δολίην ἐφράσατο τέχνην.
Κρινάμενος κατὰ δῆμον ἐείκοσι φῶτας ἀρίστους,
Εἷσε λόχον, ἑτέρωθι δ' ἀνώγει δαῖτα πένεσθαι.
Αὐτὰρ ὁ, βῆ καλέων Ἀγαμέμνονα ποιμένα λαῶν,
Ἵπποισιν καὶ ὄχεσφιν ἀεικέα μερμηρίζων.
Τὸν δ' οὐκ εἰδότ' ὄλεθρον ἀνήγαγε καὶ κατέπεφνε
Δειπνίσας, ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ.
Οὐδέ τις Ἀτρεΐδεω ἑτάρων λίπεθ' οἵ οἱ ἕποντο,
Οὐδέ τις Αἰγίσθου, ἀλλ' ἔκταθεν ἐν μεγάροισιν.
Ὣς ἔφατ', αὐτὰρ ἐμοί γε κατεκλάσθη φίλον ἦτορ,
Κλαῖον δ' ἐν ψαμάθοισι καθήμενος, οὐδέ νύ μοι κῆρ
Ἤθελ' ἔτι ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο.
Αὐτὰρ ἐπεὶ κλαίων τε κυλινδόμενός τ' ἐκορέσθην,
Δὴ τότε με προσέειπε γέρων ἅλιος νημερτής.
Μηκέτι Ἀτρέος υἱὲ πολὺν χρόνον ἀσκελὲς οὕτω
Κλαῖ' ἐπεὶ οὐκ ἄνυσίν τινα δήομεν, ἀλλὰ τάχιστα
Πείρα, ὅπως κεν δὴ σὴν πατρίδα γαῖαν ἵκηαι.
Ἢ γάρ μιν ζωόν γε κιχήσεαι, ἤ κεν Ὀρέστης
Κτεῖνεν ὑποφθάμενος, σὺ δέ κεν τάφου ἀντιβολήσαις.
Ὣς ἔφατ', αὐτὰρ ἐμοὶ κραδίη καὶ θυμὸς ἀγήνωρ,
Αὖτις ἐνὶ στήθεσι καὶ ἀχνυμένῳ περ ἰάνθη
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα,
Τούτους μὲν δὴ οἶδα, σὺ δὲ τρίτον ἄνδρ' ὀνόμαζε,
Ὅς τις ἔτι ζωὸς κατερύκεται εὐρεῖ πόντῳ,
Ἠὲ θανών, ἐθέλω δὲ καὶ ἀχνύμενός περ ἀκοῦσαι.
Ὣς ἐφάμην, ὁ δέ μ' αὖτις ἀμειβόμενος προσέειπεν,
Υἱὸς Λαέρτεω Ἰθάκῃ ἔνι οἰκία ναίων,
Τὸν δ' ἴδον ἐν νήσῳ θαλερὸν κατὰ δάκρυ χέοντα
Νύμφης ἐν μεγάροισι Καλυψοῦς. ἥ μιν ἀνάγκῃ
Ἴσχει, ὁ δ' οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι.
Οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,
Οἵ κέν μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.
Σοὶ δ' οὐ θέσφατόν ἐστι διοτρεφὲς ὦ Μενέλαε,
Ἄργει ἐν ἱπποβότῳ θανέειν, καὶ πότμον ἐπισπεῖν.
Ἀλλά σ' ἐς Ἠλύσιον πεδίον, καὶ πείρατα γαίης,

Ἀθάνατοι

Θυεστιάδης.] Θυέστου παῖς, Αἴγισθος. κύνει.] προσεκύνει. μνήσαιτο.] μνησθείη. τέχνην.] μηχανήν. κρινάμενος.] ἐπιλεξάμενος. ἑτέρωθι.] ἀλλαχοῦ. πένεσθαι.] ἐνεργεῖν, πράττειν. δειπνίσας εὐωχήσας. κατέκτανεν.] ἀνεῖλεν, ἐφόνευσεν. ζώειν.] ζῆν. κυλινδόμενος.] κυλιόμενος. ἀσκελές.] ἀδιαλείπτως. ἄνυσιν.] πρᾶξιν. δήομεν.] εὑρήσομεν. πείρα.] πειρῶ σπούδαζε. κιχήσεαι.] καταλάβοις. κτεῖνε.] ἔκτεινεν ἀνεῖλεν. ὑποφθάμενος.] προλαβών. τάφου.] τοῦ πατρὸς δείπνου. ἰάνθη.] διεχύθη, ἥσθη. ἀντιβολήσεις.] μετάσχεις. ἴσχει.] κατέχει κωλύει. πέμποιεν.] δοκιμάζοιμεν. ἐπήρετμοι.] ἐπίκωποι. θέσφατον.] τὸ ἐκ θεοῦ πεφασμένον, εἱμαρτόν. ἠλύσιον πεδίον.] τὸ τῶν ἡρώων ἐνδιαίτημα, κεκλημένον ἀπὸ Ἠλυσίου τοῦ Ἐλευθηρέως εὐσεβεστάτου γενομένου. ἢ παρὰ τὸ ἄλυτα ἐν αὐτῷ μένειν τὰ σώματα. ὁ δὲ τόπος ἐν ταῖς καλουμέναις μακάρων νήσοις.

ee ῥείστη.]

Αθανάτοι πέμψουσιν, ὅθι ξανθὸς Ραδάμανθυς,
Τῇ πέρ ῥηΐστη βιοτὴ πέλει ἀνθρώποισιν,
Οὐ νιφετός, οὔτ' ἂρ χειμὼν πολὺς, οὔτέ ποτ' ὄμβρος,
Αλλ' αἰεὶ ζεφύροιο † λιγυπνείοντας ἀήτας,
Ωκεανὸς ἀνίησιν ἀναψύχειν ἀνθρώπους,
Οὕνεκ' ἔχεις Ελένην, καί σφιν γαμβρὸς Διός ἐσσι.
Ως εἰπὼν, ὑπὸ πόντον ἐδύσατο κυμαίνοντα.
Αὐτὰρ ἐγὼν ἐπὶ νῆας ἅμ' ἀντιθέοις ἑτάροισιν,
Ηια, πολλὰ δέ μοι κραδίη πόρφυρε κιόντι,
Αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλθομεν ἠδὲ θάλασσαν,
Δόρπον θ' ὁπλισάμεσθ', ἐπί τ' ἤλυθεν ἀμβροσίη νύξ.
Δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης,
Ημος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Νῆας μὲν πάμπρωτον ἐρύσσαμεν εἰς ἅλα δῖαν,
Εν δ' ἱστοὺς τιθέμεσθα, καὶ ἱστία νηυσὶν ἐΐσης,
Εν δὲ καὶ αὐτοὶ βάντες, ἐπὶ κληῖσι κάθιζον,
Εξῆς δ' ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς,
Αψ δ' εἰς Αἰγύπτοιο Διϊπετέος ποταμοῖο
Στῆσα νέας, καὶ ἔρεξα τεληέσσας ἑκατόμβας,
Αὐτὰρ ἐπεὶ κατέπαυσα θεῶν χόλον αἰὲν ἐόντων,
Χεῦ' Αγαμέμνονι τύμβον, ἵν' ἄσβεστον κλέος εἴη.
Ταῦτα τελευτήσας νεόμην, ἔδοσαν δέ μοι οὖρον
Αθάνατοι, τοί μ' ὦκα φίλην ἐς πατρίδ' ἔπεμψαν,
Αλλ' ἄγε νῦν ἐπίμεινον ἐνὶ μεγάροισιν ἐμοῖσιν,
Οφρα κεν ἑνδεκάτη τε δυωδεκάτη τε γένηται,
Καὶ τότε σ' εὖ πέμψω, δώσω δέ τοι ἀγλαὰ δῶρα
Τρεῖς ἵππους καὶ δίφρον ἐΰξοον, αὐτὰρ ἔπειτα
Δώσω καλὸν ἄλεισον, ἵνα σπένδῃσθα θεοῖσιν
Αθανάτοις, ἐμέθεν μεμνημένος ἤματα πάντα.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα.
Ατρείδη, μὴ δή με πολὺν χρόνον ἐνθάδ' ἔρυκε.
Καὶ γάρ κ' εἰς ἐνιαυτὸν ἐγὼ παρὰ σοί γ' ἀνεχοίμην
Ημενος, οὐδέ κε μ' οἴκου ἕλοι πόθος, οὐδὲ τοκήων.
Αἰνῶς γὰρ μύθοισιν, ἔπεσσί τε σοῖσιν ἀκούων
Τέρπομαι, ἀλλ' ἤδη μοι ἀνιάζουσιν ἑταῖροι
Εν Πύλῳ ἠγαθέῃ, σὺ δέ με χρόνον ἐνθάδ' ἐρύκεις,
Δῶρον δ' ὅ, ττι κέ μοι δοίης κειμήλιον ἔστω,
Ιππους δ' εἰς Ιθάκην οὐκ ἄξομαι, ἀλλὰ σοὶ αὐτῷ
Ενθάδε λείψω ἄγαλμα, σὺ γὰρ πεδίοιο ἀνάσσεις
Εὐρέος, ᾧ ἔνι μὲν λωτὸς πολὺς, ἐν δὲ κύπειρον,
Πυροί τε, ζειαί τε, ἠδ' εὐρυφυὲς κρῖ λευκόν.
Ενδ' Ιθάκῃ, οὔτ' ἂρ δρόμοι εὐρέες οὔτε τι λειμών.
Αἰγίβοτος καὶ μᾶλλον ἐπήρατος ἱπποβότοιο.
Οὐ γάρ τις νήσων ἱππήλατος οὐδ' εὐλείμων,
Αἵθ' ἁλὶ κεκλίαται, Ιθάκη δέ τε καὶ περὶ πασέων
Ως φάτο, μείδησεν δὲ βοὴν ἀγαθὸς Μενέλαος.

† λιγυπνείοντος.

ῥηΐστη.] ἀρίστη, ἄφθονος. βιοτή.] ζωή, βίος. νιφετός.] χιών. λιγυπνέοντας.] ἡδεῖαν ἔχοντας πνοήν. ἀνίησι.] ἀναδίδωσιν ἀναπέμπει. ἀναψύχειν.] ἀνακτᾶσθαι. ἐρύσσαμεν.] εἱλκύσαμεν κατηγάγομεν. κυμαίνοντα.] κυματούμενον. πολιήν.] λευκὴν διὰ τὸν ἀφρόν. πόρφυρε.] διενοεῖτο. χεῦα.] ἔχωσα. ἄσβεστον.] ἀκατάπαυστον. τελευτήσας.] τελειώσας πληρώσας. κιόντι.] ἀπιόντι, πορευομένῳ. νεόμην.] ἐπορευόμην. ἔρυκε.] κατέσχε. ἀνεχοίμην.] ὑποφέροιμι. στέγοιμι. ἥμενος.] ἄπρακτος καθεζόμενος. ἀνιάζουσι. λυποῦνται, ἀνιῶνται. ἐρύκεις.] κατέχεις. λείψω.] καταλείψω, ἐάσω. λωτός.] εἶδος πόας καὶ δένδρου. κύπειρον.] εἶδος πόας τὸ κύπειρον. ζειαί.] ὀλύραι. εὐρυφυές.] τὸ ἐπὶ πλάτος καὶ ἐπιπολὺ φυόμενον. κρῖ.] κριθή. λειμὼν ἢ τραχεῖα, πρὸς βόσιν καὶ νομὴν αἰγῶν ἐπιτηδεία καὶ μᾶλλον ἐπήρατος ἱπποβότοιο.] ἀπὸ ἄλλης ἀρχῆς τοῦτο. ἵν' ᾖ καί τοι αἰγίβοτος οὖσα, τῆς ἱπποτρόφου ἐμοὶ μᾶλλον ἐπήρατος. ἐπήρατος ἢ ὑπέρατος. ἱππήλατος. εἰς ἔλασιν ἵππων ἐπιτηδεία. εὐλείμων καλοὺς λειμῶνας ἔχουσα. ἁλὶ κεκλίαται.] περιέχονται τῇ θαλάσσῃ. περὶ πασέων.] ὑπὲρ πάσας.

αἵματος.]

Χειρί τέ μιν κατέρεξεν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν,
Αἵματος εἰς ἀγαθοῖο φίλον τέκος, οἷ' ἀγορεύεις,
Τοὶ γὰρ ἐγώ τοι ταῦτα μεταστήσω, δύναμαι γάρ.
Δώρων δ' ὅσσ' ἐν ἐμῷ οἴκῳ κειμήλια κεῖται
Δώσω, ὃ κάλλιστον καὶ τιμηέστατόν ἐστιν,
Δώσω τοι κρητῆρα τετυγμένον, ἀργύρεος δὲ
Ἔστιν ἅπας, χρυσῷ δ' ἐπὶ χείλεα κεκράανται,
Ἔργον δ' Ἡφαίστοιο, πόρεν δέ ἑ Φαίδιμος ἥρως
Σιδονίων βασιλεύς, ὅθ' ἑὸς δόμος ἀμφεκάλυψεν
Κεῖσέ με νοστήσαντα, τεῒν δ' ἐθέλω τόδ' ὀπάσσαι.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
Δαιτυμόνες δ' ἐς δώματ' ἴσαν θείου βασιλῆος.
Οἱ δ' ἦγον μὲν μῆλα, φέρον δ' εὐήνορα οἶνον.
Σῖτον δέ σφ' ἄλοχοι καλλικρήδεμνοι ἔνεικαν.
Ὣς οἱ μὲν περὶ δεῖπνον ἐνὶ μεγάροισι πένοντο,
Μνηστῆρες δὲ πάροιθεν Ὀδυσσῆος μεγάροιο
Δίσκοισιν τέρποντο καὶ αἰγανέῃσιν ἱέντες
Ἐν τυκτῷ δαπέδῳ, ὅθι περ πάρος ὕβριν ἔχεσκον.
Ἀντίνοος δὲ καθῆστο καὶ Εὐρύμαχος θεοειδής,
Ἀρχοὶ μνηστήρων, ἀρετῇ δ' ἔσαν ἔξοχ' ἄριστοι.
Τοῖς δ' υἱὸς Φρονίοιο Νοήμων ἐγγύθεν ἐλθὼν
Ἀντίνοον μύθοισιν ἀνειρόμενος προσέειπεν.
Ἀντίνο', ἦ ῥά τι ἴδμεν ἐνὶ φρεσὶν ἦε καὶ οὐκί,
Ὁππότε Τηλέμαχος νεῖτ' ἐκ Πύλου ἠμαθόεντος;
Νῆά μοι οἴχετ' ἄγων, ἐμὲ δὲ χρεὼ γίνεται αὐτῆς
Ἤλιδ' ἐς εὐρύχορον διαβήμεναι, ἔνθα μοι ἵπποι
Δώδεκα θήλειαι, ὑπὸ δ' ἡμίονοι ταλαεργοὶ
Ἀδμῆτες, τῶν κέν τιν' ἐλασσάμενος δαμασαίμην.
Ὣς ἔφαθ', οἱ δ' ἀνὰ θυμὸν ἐθάμβεον, οὐ γὰρ ἔφαντο
Ἐς Πύλον οἴχεσθαι Νηλήϊον, ἀλλά που αὐτοῦ
Ἀγρῶν ἢ μήλοισι παρέμμεναι, ἠὲ συβώτῃ.
Τὸν δ' αὖτ' Ἀντίνοος προσέφη Εὐπείθεος υἱός.
Νημερτές μοι ἔνισπε πότ' ᾤχετο, καὶ τίνες αὐτῷ
Κοῦροι ἕποντ' Ἰθάκης ἐξαίρετοι, ἦ ἑοὶ αὐτῷ,
Θῆτές τε δμῶές τε; δύναιτό κε καὶ τὸ τελέσσαι.
Καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
Ἤ σε βίῃ ἀέκοντος ἀπηύρατο νῆα μέλαιναν,
Ἦε ἑκών οἱ δῶκας, ἐπεὶ προσπτύξατο μύθῳ.
Τὸν δ' υἱὸς Φρονίοιο Νοήμων ἀντίον ηὔδα.
Αὐτὸς ἑκών οἱ δῶκα, τί κεν ῥέξειε καὶ ἄλλος,
Ὁππότ' ἀνὴρ τοιοῦτος ἔχων μελεδήματα θυμῷ
Αἰτίζῃ, χαλεπόν κεν ἀνήνασθαι δόσιν εἴη.
Κοῦροι δ' οἳ κατὰ δῆμον ἀριστεύουσι μεθ' ἡμέας
Οἵ οἱ ἕποντ', ἐν δ' ἀρχὸν ἐγὼ βαίνοντ' ἐνόησα
Μέντορα ἠὲ θεόν, τῷ δ' αὐτῷ πάντα ἐῴκει.
Ἀλλὰ τὸ θαυμάζω, ἴδον ἐνθάδε Μέντορα δῖον

χθιζὸν

αἵματος.] γένους. οἷα.] ὁποῖα. μεταστήσω. μεταβαλῶ, μεταλλάξω. κεκράανται.] τετελέωνται, πεπλήρωνται. ἑός.] ὁ ἴδιος. ἀμφεκάλυψε.] περιεκάλυψεν. ἀντὶ τοῦ ὑπεδέξατο. Φαίδιμος. ὄνομα κύριον. τεΐν.] σοί. ὀπάσσαι.] παρασχεῖν. δαιτυμόνες.] οἱ ἑστιάτορες. εὐήνορα οἶνον.] τὸν ἀνδρείαν παρέχοντα ἐν καιρῷ πινόμενον. καλλικρήδεμνοι. καλὰ περιβόλαια ἐπὶ τῶν κεφαλῶν ἔχουσαι. τυκτῷ δαπέδῳ.] κατασκευασμένῳ καὶ λελειωμένῳ ἐδάφει. ὁππότε.] πότε. νεῖται.] ἐπανήξει, ἐλεύσεται, πορεύσεται. διαβήμεναι.] διελθεῖν, διαπλεῦσαι. ταλαεργοί.] ὑπομενητικοί. ἀδμῆτες.] ἀδάμαστοι. ἐθάμβεον.] ἐξεπλήττοντο. θῆτες.] οἱ ἐπὶ μισθῷ δουλεύοντες. δμῶες.] οἱ δοῦλοι, παρὰ τὸ δεδμῆσθαι ὅ ἐστιν ὑποτετάχθαι. προσπτύξατο.] ἐκολάκευσεν, ἐξελιπάρησεν, ἐφιλοφρονήσατο. τί κεν ῥέξειε καὶ ἄλλος.] τί ἂν πράξει καὶ ἄλλος αἰτοῦντος τοιούτου, πάντως συνέδωκεν. μελεδήματα.] μερίμνας. παρὰ τὸ μέλη ἔδειν ὅ ἐστιν ἐσθίειν. αἰτίζῃ.] αἰτῇ παρακαλῇ. δόσιν.] δωρεάν. ἀνήνασθαι.] ἀρνήσασθαι. κοῦροι δ' οἳ κατὰ δῆμον.] ἄνδρες αὐτῷ συμπλέουσι λογάδες Ἰθακήσιοι. οἱ μεθ' ὑμᾶς κρατοῦσιν. βαίνοντα.] εἰσιόντα.

ὑπ' υἱοῖον

ὑπ' ἠοῖον.] ὑπὸ τὴν ἕω ὀρθρινόν. ἔμβη.] εἰσῆλθεν. ἀγάσσατο.] ἐθαύμασεν, ἐξεπλάγη. ἐρυσσάμενος.] ἑλκύσας, καταγαγών. κρίνας.] τοὺς κρείττονας ἐκλεξάμενος. ἄρξει καὶ προτέρω,] οἷον προκακώσει ὑμᾶς. οἱ δὲ ὄνομα ἀπὸ εὐθείας τῆς ἄρξις. ἵν' ᾖ ἀπὸ ταύτης τῆς ἀρχῆς χεῖρον ὑμᾶς ἐργάσεται. λοχήσομαι.] ἐνεδρεύσω. φυλάξω.] τηρήσω. πορθμῷ.] τῷ διὰ περάματος τῷ στενῷ τόπῳ. πορθμὸς γὰρ λέγεται ἡ στενὴ θάλασσα. παιπαλοέσσης.] τραχείας. ἐπισμυγερῶς.] ἐπὶ κακῷ τῷ ἑαυτοῦ, ἐπιπόνως. ναυτίλλεται.] πλεῖ. ἄπυστος.] ἀνήκοος, ἀνήκουστος. βυσσοδόμευον.] κατὰ βάθος τῆς διανοίας ἐβουλεύοντο. ὕφαινον.] κατεσκεύαζον. πρόεσαν.] προέπεμψαν. μηδ' ἄλλοθ' ὁμιλήσαντες.] μηδὲ ἄλλο εἴπω συγγινόμενοι. πύματα.] ἔσχατα τελευταῖα. ἀγειρόμενοι.] συναθροιζόμενοι. κατακείρετε.] καταναλίσκετε, καταδαπανᾶτε. πατρῶν.] συγγενῶν. ἐξαίσιον.] ἔξω τοῦ καθήκοντος, ἄδικον. δίκη.] νόμος ἢ τρόπος. ἐχθαίρῃσι.] μισοίη. ἀτάσθαλον.] ἁμαρτωλόν, ἄδικον. ἐώργει.] εἰργάσατο. ἀεικέα.] ἀτρεπῆ, χαλεπά. εὐεργέων.] εὐεργεσιῶν. ἀργαλεώτερον.] λειότερον, χαλεπώτερον. τελέσει.] εἰς τέλος ἄξει. νισόμενον.] ἐπανερχόμενον, ὑποστρέφοντα.

ἀμφασίη.]

Χθιζὸν ὑπ' ἠοῖον, τότε δ' ἔμβη νηῒ Πύλονδε.
Ὣς ἄρα φωνήσας ἀπέβη πρὸς δώματα πατρός.
Τοῖσιν δ' ἀμφοτέροισιν ἀγάσσατο θυμὸς ἀγήνωρ.
Μνηστῆρες δ' ἄμυδις κάθισαν καὶ παῦσαν ἀέθλων.
Τοῖσιν δ' Ἀντίνοος μετέφη Εὐπείθεος υἱός,
Ἀχνύμενος, μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι
Πίμπλαντ', ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην.
Ὢ πόποι, ἦ μέγα ἔργον ὑπερφιάλως ἐτελέσθη,
Τηλεμάχῳ ὁδὸς ἥδε, φάμεν δέ οἱ οὐ τελέεσθαι,
Ἐκ τοσσῶνδ' ἀέκητι, νέος πάϊς οἴχεται αὔτως
Νῆα ἐρυσσάμενος, κρίνας τ' ἀνὰ δῆμον ἀρίστους.
Ἄρξει καὶ προτέρω κακὸν ἔμμεναι, ἀλλά οἱ αὐτῷ
Ζεὺς ὀλέσειε βίην, πρὶν ἡμῖν πῆμα γενέσθαι.
Ἀλλ' ἄγε μοι δότε νῆα θοὴν καὶ εἴκοσ' ἑταίρους
Ὄφρα μιν αὐτὸν ἰόντα λοχήσομαι, ἠδὲ φυλάξω
Ἐν πορθμῷ Ἰθάκης τε Σάμοιό τε παιπαλοέσσης.
Ὡς ἂν ἐπισμυγερῶς ναυτίλλεται εἵνεκα πατρός.
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπῄνεον, ἠδ' ἐκέλευον.
Αὐτίκ' ἔπειτ' ἀναστάντες ἔβαν δόμον εἰς Ὀδυσῆος.
Οὐδ' ἄρα Πηνελόπεια πολὺν χρόνον ἦεν ἄπυστος
Μύθων, οὓς μνηστῆρες ἐνὶ φρεσὶ βυσσοδόμευον.
Κῆρυξ γάρ οἱ ἔειπε Μέδων, ὃς ἐπεύθετο βουλάς,
Αὐλῆς ἐκτὸς ἐών, οἱ δ' ἔνδοθι μῆτιν ὕφαινον.
Βῆ δ' ἴμεν ἀγγελέων διὰ δώματα Πηνελοπείῃ.
Τὸν δὲ κατ' οὐδοῦ βάντα προσηύδα Πηνελόπεια.
Κῆρυξ, τίπτε δέ σε πρόεσαν μνηστῆρες ἀγαυοί,
Ἦ εἰπέμεναι δμῳῇσιν Ὀδυσσῆος θείοιο
Ἔργων παύσασθαι, σφίσι δ' αὐτοῖς δαῖτα πένεσθαι,
Μὴ μνηστεύσαντες, μηδ' ἄλλοθ' ὁμιλήσαντες,
Ὕστατα καὶ πύματα νῦν ἐνθάδε δειπνήσειαν.
Οἳ θάμ' ἀγειρόμενοι, βίοτον κατακείρετε πολλόν,
Κτῆσιν Τηλεμάχοιο δαΐφρονος, οὐδέ τι πατρῶν
Ὑμετέρων τὸ πρόσθεν ἀκούετε παῖδες ἐόντες
Οἷος Ὀδυσσεὺς ἔσκε μεθ' ὑμετέροισι τοκεῦσιν
Οὔτε τινὰ ῥέξας ἐξαίσιον, οὔτε τι εἰπὼν
Ἐν δήμῳ, ἥτ' ἐστὶ δίκη θείων βασιλήων.
Ἄλλον κ' ἐχθαίρῃσι βροτῶν, ἄλλον κε φιλοίη.
Κεῖνος δ' οὔποτε πάμπαν ἀτάσθαλον ἄνδρα ἐώργει.
Ἀλλ' ὁ μὲν ὑμέτερος θυμὸς καὶ ἀεικέα ἔργα
Φαίνεται, οὐδέ τίς ἐστι χάρις μετόπισθεν εὐεργέων.
Τὴν δ' αὖτε προσέειπε Μέδων πεπνυμένα εἰδώς
Εἰ γὰρ δὴ βασίλεια, τόδε πλεῖστον κακὸν εἴη.
Ἀλλὰ πολὺ μεῖζόν τε καὶ ἀργαλεώτερον ἄλλο
Μνηστῆρες φράζονται, ὃ μὴ τελέσειε Κρονίων.
Τηλέμαχον μεμάασι κατακτάμεν ὀξέϊ χαλκῷ,
Οἴκαδε νεισόμενον, ὁ δ' ἔβη μετὰ πατρὸς ἀκουὴν

Ἐς Πύλον

Ἐς Πύλον ἠγαθέην, ἠδ' ἐς Λακεδαίμονα δῖαν.
Ὣς φάτο, τῆς δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ,
Δὴν δέ μιν ἀμφασίη ἐπέων λάβε, τὼ δέ οἱ ὄσσε
Δακρυόφιν πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή,
Ὀψὲ δὲ δή μιν ἔπεσσιν ἀμειβομένη προσέειπε.
Κῆρυξ, τίπτε δέ μοι πάϊς οἴχεται, οὐδέ τί μιν χρεὼ
Νηῶν ὠκυπόρων ἐπιβαινέμεν, αἵθ' ἁλὸς ἵπποι
Ἀνδράσι γίγνονται, περόωσι δὲ πουλὺν ἐφ' ὑγρήν,
Ἦ ἵνα μηδ' ὄνομ' αὐτοῦ ἐν ἀνθρώποισι λίπηται;
Τὴν δ' ἠμείβετ' ἔπειτα Μέδων πεπνυμένα εἰδώς,
Οὐκ οἶδ' εἴ τίς μιν θεὸς ὤρορεν, ἦε καὶ αὐτοῦ
Θυμὸς ἐφωρμήθη ἴμεν ἐς Πύλον, ὄφρα πύθηται
Πατρὸς ἑοῦ, ἢ νόστον, ἢ ὅντινα πότμον ἐπέσπεν.
Ὣς ἄρα φωνήσας ἀπέβη κατὰ δῶμ' Ὀδυσῆος.
Τὴν δ' ἄχος ἀμφεχύθη θυμοφθόρον, οὐδ' ἄρ' ἔτ' ἔτλη
Δίφρῳ ἐφέζεσθαι, πολλῶν κατὰ οἶκον ἐόντων.
Ἀλλ' ἄρ' ἐπ' οὐδοῦ ἷζε πολυκμήτου θαλάμοιο,
Οἴκτρ' ὀλοφυρομένη, περὶ δὲ δμωαὶ μινύριζον
Πᾶσαι, ὅσαι κατὰ δώματ' ἴσαν νέαι ἠδὲ παλαιοί,
Τῇς δ' ἁδινὸν γοόωσα, μετηύδα Πηνελόπεια.
Κλῦτε φίλαι, περὶ γάρ μοι ὀλύμπιοι ἄλγε' ἔδωκαν
Ἐκ πασέων, ὅσσαι μοι ὁμοῦ τράφεν, ἠδ' ἐγένοντο,
Ἣ πρὶν μὲν πόσιν ἐσθλὸν ἀπώλεσα θυμολέοντα
Παντοίῃς ἀρετῇσι κεκασμένον ἐν Δαναοῖσιν,
Ἐσθλόν, τοῦ κλέος εὐρὺ καθ' Ἑλλάδα καὶ μέσον Ἄργος.
Νῦν αὖ παῖδ' ἀγαπητὸν ἀποκτεῖναι μεμάασιν
Ἀκλέα ἐκ μεγάρων, οὐδ' ὁρμηθέντος ἄκουσα,
Σχέτλιαι, οὐδ' ὑμεῖς περ ἐνὶ φρεσὶ θέσθε ἑκάστη
Ἐκ λεχέων μ' ἀναγεῖραι, ἐπιστάμεναι σάφα θυμῷ,
Ὁππότ' ἐκεῖνος ἔβη κοίλην ἐπὶ νῆα μέλαιναν.
Εἰ γὰρ ἐγὼ πυθόμην ταύτην ὁδὸν ὁρμαίνοντα,
Τῷ κε μάλ' ἤ κεν ἔμεινε καὶ ἐσσύμενός περ ὁδοῖο,
Ἤ κέ με τεθνηκυῖαν ἐνὶ μεγάροισιν ἔλειπεν,
Ἀλλά τις ὀτρηρὸς Δολίον καλέσειε γέροντα
Δμῶ' ἐμόν, ὅν μοι ἔδωκε πατὴρ ἔτι δεῦρο κιούσῃ,
Καί μοι κῆπον ἔχει πολυδένδρεον, ὄφρα τάχιστα
Λαέρτῃ τάδε πάντα παρεζόμενος καταλέξῃ,
Εἰ δή πού τινα κεῖνος ἐνὶ φρεσὶ μῆτιν ὑφήνας,
Ἐξελθὼν λαοῖσιν ὀδύρεται, οἳ μεμάασιν
Ὃν καὶ Ὀδυσσῆος φθῖσαι γόνον ἀντιθέοιο.
Τὴν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια.
Νύμφα φίλη, σὺ μὲν ἄρ με κατάκτανε νηλέϊ χαλκῷ
Ἢ ἔα ἐν μεγάρῳ, μῦθον δέ τι οὐκ ἐπικεύσω.
Ἤδε' ἐγὼ τάδε πάντα, πόρον δέ οἱ ὅσσ' ἐκέλευσεν,
Σῖτον καὶ μέθυ ἡδύ, ἐμεῦ δ' ἕλετο μέγαν ὅρκον,
Μὴ πρίν σοι ἐρέειν, πρὶν δωδεκάτην τε γενέσθαι,

ἀμφασίη.] ἀμφασία, ἀφωνία, κεῖται τὸ .μ. περισσόν. λίπηται.] καταλειφθείη. ὤρορεν.] παρώρμησεν. πύθηται.] ἀκούσῃ, μάθῃ. ἐπέσπεν.] ἐπλήρωσεν. θυμοφθόρον.] βλαπτικὸν λογισμοῦ. ἐφέζεσθαι.] ἐπικαθέζεσθαι. πολυκμήτου.] μετὰ πολλοῦ καμάτου κατασκευασθέντος. οἴκτρα.] ἐλεεινά. μινύριζον.] ἡσύχως ἔκλαιον ἐθρήνουν. ἁδινόν.] ἀθρόως, ἀδινῶς. κεκασμένον ἢ κεκοσμημένον. θυμολέοντα.] ἀνδρεῖον, λεοντόθυμον. ἀκλέα.] ἄδοξον. ὁρμηθέντος.] ἐξελθόντος. σχέτλιαι.] ἀγνώμονες, χαλεποί. θέσθαι.] ἀποθέσθαι, θησαυρίζεσθαι. πυθόμην.] ἤκουσα, ἔμαθον. ἔλειπε.] ἀφῆκέ με. ὁρμαίνοντα.] προθυμούμενον. ὀτρηρῶς. δραστικῶς, σπουδαίως. Δολίον.] ὄνομα κύριον. κιούσῃ.] πορευομένῃ. κῆπον ἔχει.] νῦν ἀντὶ τοῦ ἐπιμελεῖται. καταλέξῃ.] εἴποι ἕκαστα. μῆτιν.] σύνεσιν, βουλήν, γνώμην, τέχνην, δόλον, ἀπάτην, μῦθον. ὑφήνας.] κατασκευάσας. ὀδύρεται.] ἀποκλαύσεται. φθῖσαι.] διαφθεῖραι. κατάκτανε.] νηλέϊ. φονεύσον. ἕλετο.] ἔλαβεν.

ἰάπτῃς.] διαφθείρῃς. ὑδρηναμένη.] λουσαμένη. ὕδατι περιχεομένη. ἑλοῦσα.] λαβοῦσα, ἀντὶ τοῦ ἐνδυσαμένη. κάκου.] λύπει. γονὴν.] γένος. Ἀρκεισιάδαο.] πατρωνυμικῶς τοῦ Λαέρτου. ἔχθεσθαι.] μισεῖσθαι. ἐπέσσεται.] καὶ εἰς τὸ μετὰ ταῦτα ἔσται.

ὑψηρεφέα.] ὑψηλοτέρα. πίονας.] τοὺς πιαίνοντας· τουτέστι λιπαροὺς, πλουσίους ποιοῦντας τοὺς ἀνθρώπους. εὔνησε.] ἔπαυσεν, ἐκοίμισεν. ἀπάλαλκε.] ἀπεκώλυσον. ὀλόλυξε.] ὀλοφυρτικὸν ἐφθέγξατο. ἀρῆς.] εὐχῆς.

ὑπερηνορέοντας.] ὑπερέχοντας τῇ δυνάμει. σημαίνει δὲ καὶ ὑπερηφανοῦντας. ὁμάδησαν.] ἐθορύβησαν.

ἀνὰ μέγαρα.] κατὰ τοὺς οἴκους.

πολυμνήστη.] ὑπὸ πολλῶν μεμνηστευμένη. ἀρτύει.] παρασκευάζει. οὐκ ἴσαν.] οὐκ ἐγίνωσκον. δαιμόνιοι.] μακάριοι, θαυμάσιοι. ἀλέασθε.] ἐκκλίνατε, φυλάξατε. σιγῇ τοῖσιν.] μετὰ σιγῆς οὕτω. τελέωμεν.] τελειώσομεν, πληρώσομεν. ἤραρεν.] ἥρμοσεν. ἐκρίνατο.] ἐπελέξατο.

ἐν δ' ἱστὸν ἐτίθεντο.] πῶς τῇ ἐρεσίᾳ χρώμενοι κόσμου χάριν. ἠρτύναντο.] παρεσκευάσαντο. ἐρετμά.] κώπας. τροποῖς ἐν δερματίνοισι.] περιεσπωμένως. δηλοῖ γὰρ τοὺς τροπωτῆρας, περὶ οὓς αἱ κῶπαι ῥέπονται καὶ στρέφονται ἐν ἱμᾶσι τοῖς περὶ δεδεμένοις ταῖς κώπαις. ὑπέρθυμοι.] ἀνδρειότατοι. ὑψοῦ.] ἐν ὕψει ἐν τῷ κατωτέρῳ τόπῳ. νοτίῳ.] τῷ διύγρῳ. οἱ δὲ ἐν νοτίῳ τῷ πρὸς νότον τόπῳ. ὥρμισαν.] ἡσύχως ἑστάναι τὴν ναῦν ἐποίησαν. ἔβαν.] ἐβησαν, εἰσῆλθον.

ἕλοντο.] ἔλαβον. ἕσπερον.] τὴν ἑσπέραν. ἄπαστος.] ἄγευστος.

ὁμίλῳ.] πλήθει. ὁρμαίνουσα.] λογιζομένη. δόλον περὶ κύκλον.] τὸ δίκτυον. ἄψεα δὲ τὰ μέλη φησί, ἀπὸ τοῦ συνῆφθαι.

ἄλλον.]

Ἤ σ' αὐτὴν ποθέσαι καὶ ἀφορμηθέντος ἀκοῦσαι.
Ὡς ἂν μὴ κλαίουσα κατὰ χρόα καλὸν ἰάπτῃς.
Ἀλλ' ὑδρηναμένη, καθαρὰ χροῒ εἵμαθ' ἑλοῦσα,
Εἰς ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶν
Εὔχε' Ἀθηναίῃ κούρῃ Διὸς αἰγιόχοιο.
Ἡ γάρ κέν μιν ἔπειτα καὶ ἐκ θανάτοιο σαώσει.
Μὴ δὲ γέροντα κάκου κεκακωμένον, οὐ γὰρ ὀΐω
Πάγχυ θεοῖς μακάρεσσι γονὴν Ἀρκεισιάδαο
Ἔχθεσθ', ἀλλ' ἔτι πού τις ἐπέσσεται ὅς κεν ἔχῃσι
Δώματ' ὑψηρεφέα, καὶ ἀπόπροθι πίονας ἀγρούς.
Ὣς φάτο, τῆς δ' εὔνησε γόον, σχέθε δ' ὄσσε γόοιο.
Ἡ δ' ὑδρηναμένη, καθαρὰ χροῒ εἵμαθ' ἑλοῦσα,
Εἰς ὑπερῷ' ἀνέβαινε σὺν ἀμφιπόλοισι γυναιξίν.
Ἐν δ' ἔθετ' οὐλοχύτας κανέῳ, ἠρᾶτο δ' Ἀθήνῃ.
Κλῦθί μοι αἰγιόχοιο Διὸς τέκος Ἀτρυτώνη,
Εἴ ποτέ τοι πολύμητις ἐνὶ μεγάροισιν Ὀδυσσεὺς,
Ἢ βοὸς, ἢ ὄϊος κατὰ πίονα μηρί' ἔκηε.
Τῶν νῦν μοι μνῆσαι καί μοι φίλον υἷα σάωσον.
Μνηστῆρας δ' ἀπάλαλκε κακῶς ὑπερηνορέοντας.
Ὣς εἰποῦσ', ὀλόλυξε, θεὰ δέ οἱ ἔκλυεν ἀρῆς.
Μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα.
Ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων.
Ἡ μάλα δὴ γάμον ἄμμι, πολυμνήστη βασίλεια
Ἀρτύει, οὐδέ τι οἶδεν ὅ οἱ φόνος υἷϊ τέτυκται.
Ὣς ἄρα τις εἴπεσκε, τὰ δ' οὐκ ἴσαν ὡς ἐτέτυκτο.
Τοῖσιν δ' Ἀντίνοος ἀγορήσατο καὶ μετέειπε.
Δαιμόνιοι, μύθους μὲν ὑπερφιάλους ἀλέασθε
Πάντας ὁμῶς, μήπως τις ἐπαγγείλῃσι καὶ εἴσω.
Ἀλλ' ἄγε σιγῇ τοῖσιν ἀναστάντες τελέωμεν
Μῦθον, ὃ δὴ καὶ πᾶσιν ἐνὶ φρεσὶν ἤραρεν ἡμῖν.
Ὣς εἰπὼν, ἐκρίνατ' ἐείκοσι φῶτας ἀρίστους.
Βὰν δ' ἰέναι ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης.
Νῆα μὲν ἄρ πάμπρωτον ἁλὸς βένθος δὲ ἔρυσσαν,
Ἐν δ' ἱστόν τ' ἐτίθεντο, καὶ ἱστία νηῒ μελαίνῃ.
Ἠρτύναντο δ' ἐρετμὰ τροποῖς ἐν δερματίνοισι,
Πάντα κατὰ μοῖραν, ἀνὰ θ' ἱστία λευκὰ πέτασσαν.
Τεύχεα δέ σφιν ἔνεικαν ὑπέρθυμοι θεράποντες.
Ὑψοῦ δ' ἐν νοτίῳ τήν γ' ὥρμισαν, ἐκ δ' ἔβαν αὐτοί,
Ἔνθα δὲ δόρπον ἕλοντο, μένον δ' ἐπὶ ἕσπερον ἐλθεῖν.
Ἡ δ' ὑπερωΐῳ αὖθι περίφρων Πηνελόπεια
Κεῖτ' ἄρ' ἄσιτος, ἄπαστος ἐδητύος, ἠδὲ ποτῆτος,
Ὁρμαίνουσ', εἴ οἱ θάνατον φύγοι υἱὸς ἀμύμων,
Ἢ ὅ γ' ὑπὸ μνηστῆρσιν ὑπερφιάλοισι δαμείη.
Ὅσσα δὲ μερμήριξε λέων ἀνδρῶν ἐν ὁμίλῳ
Δείσας, ὁππότε μιν δόλιον περὶ κύκλον ἄγωσι,
Τόσσα μιν ὁρμαίνουσαν ἐπήλυθε νήδυμος ὕπνος.

Εὗδε

Εὗδε δ' ἀνακλινθεῖσα, λύθεν δέ οἱ ἅψεα πάντα.
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη.
Εἴδωλον ποίησε, δέμας δ' ἤικτο γυναικί.
Ἰφθίμῃ κούρῃ μεγαλήτορος Ἰκαρίοιο.
Τὴν Εὔμηλος ὄπυιε Φερῆς ἔνι οἰκία ναίων,
Πέμπε δέ μιν πρὸς δώματ' Ὀδυσσῆος θείοιο.
Εἴ πως Πηνελόπειαν ὀδυρομένην γοόωσαν
Παύσειε κλαυθμοῖο, γόοιό τε δακρυόεντος.
Ἐς θάλαμον δ' εἰσῆλθε παρὰ κληῖδος ἱμάντα.
Στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν.
Εὕδεις Πηνελόπεια φίλον τετιημένη ἦτορ;
Οὐ μέν σ' οὐδὲ ἐῶσι θεοὶ ῥεῖα ζώοντες
Κλαίειν, οὐδ' ἀκάχησθαι. ἐπεί ῥ' ἔτι νόστιμός ἐστι
Σὸς παῖς, οὐ μὲν γάρ τι θεοῖς ἀλιτήμενός ἐστιν.
Τὴν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια,
Ἡδὺ μάλα κνώσσουσ' ἐν ὀνειρείῃσι πύλῃσι,
Τίπτε κασιγνήτη δεῦρ' ἤλυθες, οὔτι πάρος γε
Πωλέ' ἐπεὶ μάλα πολλὸν ἀπόπροθι δώματα ναίεις,
Καί με κέλεαι παύσασθαι ὀϊζύος, ἠδ' ὀδυνάων
Πολλέων, αἵ μ' ἐρέθουσι κατὰ φρένα καὶ κατὰ θυμόν,
Ἣ πρὶν μὲν πόσιν ἐσθλὸν ἀπώλεσα θυμολέοντα,
Παντοίῃς ἀρετῇσι κεκασμένον ἐν Δαναοῖσιν
Ἐσθλόν, τοῦ κλέος εὐρὺ καθ' Ἑλλάδα καὶ μέσον Ἄργος,
Νῦν αὖ παῖς ἀγαπητὸς ἔβη κοίλης ἐπὶ νηός
Νήπιος, οὔτε πόνων εὖ εἰδώς, οὔτ' ἀγοράων.
Τοῦ δὴ ἐγὼ καὶ μᾶλλον ὀδύρομαι, ἤπερ ἐκείνου,
Τοῦ δ' ἀμφιτρομέω καὶ δείδια μήτι πάθῃσιν,
Ἢ ὅγε τῶν ἐνὶ δήμῳ ἵν' οἴχεται, ἢ ἐνὶ πόντῳ,
Δυσμενέες γὰρ πολλοὶ ἐπ' αὐτῷ μηχανόωνται
Ἱέμενοι κτεῖναι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι.
Τὴν δ' ἀπαμειβόμενον προσέφη εἴδωλον ἀμαυρόν
Θάρσει, μηδέ τι πάγχυ ἐνὶ φρεσὶ δείδιθι λίην,
Τοίη γάρ οἱ πομπὸς ἅμ' ἔρχεται, ἥν τε καὶ ἄλλοι
Ἀνέρες ἠρήσαντο παρεστάμεναι, δύναται γάρ
Παλλὰς Ἀθηναίη, σὲ δ' ὀδυρομένην ἐλεαίρει.
Ἣ νῦν με προέηκε τεῒν τάδε μυθήσασθαι.
Τὴν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια,
Εἰ μὲν δὴ θεός ἐσσι, θεοῖό τε ἔκλυες αὐδῆς,
Εἰ δ' ἄγε μοι καὶ κεῖνον ὀϊζυρὸν κατάλεξον.
Εἴ που ἔτι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
Ἢ ἤδη τέθνηκε καὶ εἰν Ἀΐδαο δόμοισι.
Τὴν δ' ἀπαμειβόμενον προσέφη εἴδωλον ἀμαυρόν
Οὐ μέν τοι κεῖνόν γε διηνεκέως ἀγορεύσω,
Ζώει ὅγ' ἢ τέθνηκε, κακὸν δ' ἀνεμώλια βάζειν.
Ὣς εἰπὼν σταθμοῖο παρὰ κληῖδα λιάσθη
Ἐς πνοιὰς ἀνέμων, ἡ δ' ἐξ ὕπνου ἀνόρουσε

εἴδωλον.] φάσμα. ἤικτο.] ὅμοιον ἦν. Ἰφθίμῃ.] οὕτως ἐκαλεῖτο κυρίως ἡ ἀδελφὴ τῆς Πηνελόπης. Φερῆς.] ἐν ταῖς Φεραῖς. Φεραὶ δὲ πόλις τῆς Μεσσηνίας. δακρυόεντος.] δακρύων ποιητικοῦ. παρὰ κληῖδος ἱμάντα.] ἀντιστρόφως παρὰ τὴν κλεῖδα, ἥτις ἱμάντα ἔχει παρὰ τὸ κλεῖθρον. τετιημένη.] λελυπημένη. ῥεῖα ζώοντες.] ῥαδίως καὶ ἀπόνως ζῶντες. νόστιμός ἐστι.] ἐλπίζων ἀνακομισθῆναι καὶ σωθῆναι. ἀλιτήμενος.] ἡμαρτηκὼς ἢ ἡμαρτημένος. κνώσσουσα.] κοιμωμένη. ἐν ὀνειρείῃσι πύλῃσι.] ἐν τῷ βάθει τοῦ ὕπνου. διὰ γὰρ τούτου ἔρχεται ὄνειρος. τίπτε.] τί δή. κασιγνήτη.] ἀδελφή. ἤλυθες.] ἦλθες. πωλέαι.] παραγίνῃ, ἀναστρέφῃ. ἀπόπροθι.] πόρρω. ναίεις.] οἰκεῖς. ἐρέθουσιν.] ἐρεθίζουσιν. ὀϊζύος.] ταλαιπωρίας, κακοπαθίας. πόσιν.] ἄνδρα. νήπιος.] νῦν ὁ πραγμάτων ἄπειρος, ἢ μικρός. εὖ εἰδώς.] ἀκριβῶς ἐπιστάμενος. δείδια.] φοβοῦμαι, εὐλαβοῦμαι. μηχανόωνται.] ἐπινοοῦσιν. ἀμαυρόν.] τὸ μὴ βλεπόμενον, οἱ δὲ τὸ ἅμα ταῖς αὔραις φερόμενον. πομπός.] παραπέμπουσα. τρομέω.] τρέμω. ἵνα.] ὅπου. ἱέμενοι.] προθυμούμενοι. ἀμαυρόν.] ἀσθενές. δείδιθι.] φοβοῦ. ζώει.] ζῇ. τεΐν.] σοί. εἰν Ἀΐδαο.] ἐν ᾅδου. εἰ δ' ἄγε.] ἄγε δή. πομπός.] ὁδηγός. τέθνηκεν.] ἀπέθανεν. διηνεκέως.] σαφῶς, ἀκριβῶς ἕως τέλους τὰ πάντα. ἀνεμώλια.] μάταια. βάζειν.] λέγειν. σταθμοῖο.] τῆς παραστάδος. κληῖδα.] τὴν κλεῖν, τὸ κλεῖθρον. λιάσθη.] ἐκλύθη, ἐχωρίσθη, ἰάνθη.

Κούρη Ἰκαρίοιο. Φίλον δέ οἱ ἦτορ ἰάνθη.
Ὥς οἱ ἐναργὲς ὄνειρον ἐπέσσυτο νυκτὸς ἀμολγῷ.
Μνηστῆρες δ' ἀναβάντες, ἐπέπλεον ὑγρὰ κέλευθα,
Τηλεμάχῳ φόνον αἰπὺν ἐνὶ φρεσὶν ὁρμαίνοντες,
Ἔστι δέ τις νῆσος μέσσῃ ἁλὶ πετρήεσσα,
Μεσσηγὺς Ἰθάκης τε Σάμοιό τε παιπαλοέσσης,
Ἀστερὶς οὐ μεγάλη, λιμένες δ' ἐνὶ ναύλοχοι αὐτῇ
Ἀμφίδυμοι, τῇ τόν γε μένον λοχόωντες Ἀχαιοί.

ἰάνθη.] εὐφράνθη. ἐναργές.] φανερόν. νυκτὸς ἀμολγῷ.] ἐν τῇ τῆς μεσονυκτίου ὥρα. καὶ ἔστι κατὰ τὸ ἔτυμον ἤτοι ἀμολγῷ. καθ' ἣν ὥραν συμβέβηκεν μὴ ἀμέλγεσθαι ζῶα. ἢ κατὰ ἀφαίρεσιν τοῦ γ. ἀμολῷ. καθ' ἣν ὥραν οὐδεὶς μολίσκει ὅ ἐστι βαδίζει. ἢ κατὰ ἀφαίρεσιν τοῦ λ. ἀμ γῷ. καθ' ἣν ὥραν οὐδεὶς μογεῖ. ὅπερ ἐστὶ κακοπαθεῖ, ἀλλὰ ἀναπαύεται. ταῦτα δὲ πάντα εἰς τὴν τῆς μεσονυκτίου ὥραν καταστρέφει. μέσσῃ ἁλί.] ἐν μέσῃ τῇ θαλάσσῃ. πετρήεσσα.] πετρώδης, τραχεῖα. Ἀστερίς.] ὄνομα νήσου κειμένης μέσον Ἰθάκης καὶ Σάμου. ὑγρὰ κέλευθα.] τὴν διὰ θαλάσσης ὁδόν. ναύλοχοι.] ἐν οἷς αἱ νῆες λοχῶσαι καὶ ἐνεδρεύουσαι λαθεῖν δύνανται. ἢ οἱ τὰς ναῦς ὑποδεχόμενοι τόποι. ἀμφίδυμοι.] ἀμφοτέρωθεν εἰσδύσεις τουτέστιν ἐξ ἑκατέρου μέρους εἴσπλους καὶ καταγωγὰς ἔχοντες. ἢ δίπλοι. τῇ.] ἐκεῖ. λοχόωντες.] ἐνεδρεύοντες. ἀχαιοί.] οἱ μνηστῆρες.

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ε ΟΔΥΣΣΕΙΑΣ ΤΟΥ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ἐκκλησίαν τῶν θεῶν δευτέραν ποιησάμενος ὁ Ζεύς, Ἑρμῆν πέμπει πρὸς Καλυψώ, κελεύων ἀποπέμπειν τὸν Ὀδυσσέα. ἡ δὲ τὸ κελευσθὲν ποιεῖ. τῇ δὲ ὀκτωκαιδεκάτῃ ἡμέρᾳ ἰδὼν αὐτὸν ὁ Ποσειδῶν καὶ χαλεπήνας, λύει τὴν σχεδίαν. Ἰνὼ δὲ αὐτῷ κρήδεμνον δίδωσιν, ἐντειλαμένη ἐπιβάντι τῆς γῆς, ἀπορρίψαι αὐτό. καὶ πολλὰ παθών, εἰς τὴν Φαιάκων χώραν ἔρχεται διασωθείς.

## ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Ε. ΤΟΥ Ομηρου ῥαψωδίαν.

Τιθώνοιο. Τιθωνὸς Λαομέδοντος παῖς, Πριάμου ἀδελφός, Ἠοῦς ἀνήρ. ὁ Ἐνδυμίων λέγεται συνευνᾶσθαι τῇ Σελήνῃ. καὶ ὁ Τιθωνὸς τῇ Ἡμέρᾳ. ἀλληγορεῖται δὲ οὕτως. ὁ Ἐνδυμίων εἰς ἄνδρα κυνηγέτην. καὶ τῇ μὲν νυκτὶ κοιμώμενον, τῇ δὲ Ἡμέρᾳ οὐ δὲ ποσῶς διὰ τὸ ἠσχολῆσθαι περὶ τὰ κυνηγέσια. ὁ δὲ Τιθωνὸς εἰς ἀστρονόμον. καὶ τῇ μὲν ἡμέρᾳ κοιμώμενον τῇ δὲ νυκτὶ ἐπαγρυπνοῦντα διὰ τὸ ἠσχολῆσθαι περὶ τὰ ἄστρα. θῶκονδε.] εἰς συνέδριον. μνησαμένη, ὑπομνησθεῖσα. μέλε.] διὰ φροντίδος ἦν ὅπως.] πρᾷος. ἥσυχος. αἴσυλα.] παράνομα, καὶ ἁμαρτωλά. ἴσχει.] κατέχει, κωλύει. πάρα.] πάρεισιν.

οὐ γὰρ δύ

## ΙΛΙΑΔΟΣ Ε ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ

Ἔπλει ἐπὶ σχεδίης Ὀδυσσεὺς καθείσης πόντῳ

Ἠὼς δ' ἐκ λεχέων παρ' ἀγαυοῦ Τιθώνοιο,
Ὤρνυθ' ἵν' ἀθανάτοισι φόως φέροι, ἠδὲ Βροτοῖσιν.
Οἱ δὲ θεοί, θῶκονδε καθίζανον, ἐν δ' ἄρα τοῖσι,
Ζεὺς ὑψιβρεμέτης, οὗ τε κράτος ἐστὶ μέγιστον.
Τοῖσι δὲ Ἀθηναίη λέγε κήδεα πόλλ' Ὀδυσῆος
Μνησαμένη, μέλε γάρ οἱ ἐὼν ἐν δώμασι νύμφης.
Ζεῦ πάτερ ἠδ' ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες.
Μή τις ἔτι πρόφρων ἀγανὸς καὶ ἤπιος ἔστω
Σκηπτοῦχος βασιλεύς, μηδὲ φρεσὶν αἴσιμα εἰδώς.
Ἀλλ' αἰεὶ χαλεπός τ' εἴη καὶ αἴσυλα ῥέζοι.
Ὡς οὔτις μέμνηται Ὀδυσσῆος θείοιο
Λαῶν οἷσιν ἄνασσε, πατὴρ δ' ὣς ἤπιος ἦεν.
Ἀλλ' ὁ μὲν ἐν νήσῳ κεῖται κρατέρ' ἄλγεα πάσχων
Νύμφης ἐν μεγάροισι Καλυψοῦς. ἥ μιν ἀνάγκῃ
Ἴσχει, ὁ δ' οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι.
Οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι.
Οἵ κέν μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.
Νῦν αὖ παῖδ' ἀγαπητὸν ἀποκτεῖναι μεμάασι

Οἴκαδε